φήσομεν, ἢ σπουδάζοντος, οἷς ἀναιρεῖς ἡμῶν τὴν
we-shall-say or of-(one)-in-earnest by-which you-destroy our the
ἕνωσιν. τίς γὰρ δὴ καὶ ὁ λόγος; τὰ ὁμοούσια
union what for indeed also the argument the consubstantial(-things)
συναριθμεῖταί, φησι· συναρίθμησιν λέγων τὴν εἰς ἀριθμὸν
are-counted-together he-says counting-together calling the into number
ἕνα συναίρεσιν· οὐ συναριθμεῖται δὲ τὰ μὴ ὁμοούσια· ὥστε
one gathering not are-counted-together but the not consubstantial so-that
ὑμεῖς μὲν οὐ φεύξεσθε τὸ τρεῖς λέγειν θεοὺς κατὰ τὸν
you indeed not will-escape the three to-say gods according-to the
λόγον τοῦτον· ἡμῖν δὲ οὐδὲ εἷς κίνδυνος· οὐ γὰρ ὁμοούσια
argument this to-us but not-even one danger not for consubstantial
λέγομεν. σὺ μὲν οὖν ἀπήλλαξας σεαυτὸν πραγμάτων
we-say you indeed then you-freed yourself from-troubles
μιᾷ φωνῇ, καὶ τὴν κακὴν νίκην νενίκηκας· ὅμοιόν τι
by-one word and the evil victory you-have-won like something
ποιήσας τοῖς διὰ θανάτου φόβον ἀπαγχομένοις. ἵνα
having-done to-those because-of death fear hanging-themselves that
γὰρ μὴ κάμῃς τῇ μοναρχίᾳ συνιστάμενος, ἠρνήσω
for not you-may-toil for-the monarchy contending you-denied

θεότητα, καὶ προδέδωκας τοῖς ἐχθροῖς τὸ ζητούμενον.
godhead and you-have-betrayed to-the enemies the(-thing) sought
ἐγὼ δὲ κἄν τι δέῃ καμεῖν, οὐ προήσομαι τὸ
I but even-if anything (one)-must toil not I-will-abandon the(-thing)
προσκυνούμενον. ἐνταῦθα δὲ οὐδὲ ὁρῶ τίς ὁ πόνος.
worshiped here but not-even I-see what the toil
Συναριθμεῖται, φής, τὰ ὁμοούσια· τὰ δὲ μὴ οὕτως 18
are-counted-together you-say the consubstantial(-things) the but not thus
ἔχοντα μοναδικὴν ἔχει τὴν δήλωσιν. πόθεν σοι τοῦτο, καὶ
being singular has the indication whence to-you this and
παρὰ τίνων δογματιστῶν καὶ μυθολόγων; ἢ ἀγνοεῖς,
from what dogmatists and mythologists or are-you-ignorant
ὅτι πᾶς ἀριθμὸς τῆς ποσότητος τῶν ὑποκειμένων ἐστὶ
that every number of-the quantity of-the subjects is
δηλωτικός, οὐ τῆς φύσεως τῶν πραγμάτων; ἐγὼ δὲ οὕτως
indicative not of-the nature of-the things I but so
ἀρχαίως ἔχω, μᾶλλον δὲ ἀμαθῶς, ὥστε τρία μὲν ὀνομάζω
old-fashionedly am rather and ignorantly so-that three indeed I-name
τὰ τοσαῦτα τῷ ἀριθμῷ, κἂν διέστηκε τὴν φύσιν·
the(-things) so-many in-the number even-if they-differ in-the nature
ἓν δέ, καὶ ἕν, καὶ ἕν, ἄλλως τὰς τοσαύτας μονάδας, κἂν
one but and one and one otherwise the so-many units even-if
τῇ οὐσίᾳ συνάπτωνται, οὐ πρὸς τὰ πράγματα μᾶλλον
in-the substance they-be-joined not to the things rather
ἀφορῶν, ἢ τὸ πόσον τῶν πραγμάτων, καθ' ὧν ἡ
looking than the how-many of-the things of which the
ἀρίθμησις. ἐπεὶ δὲ λίαν περιέχῃ τοῦ γράμματος, καίτοι γε
numbering since but very you-cling-to the letter although at-least
πολεμῶν τῷ γράμματι, ἐκεῖθέν μοι λάβε τὰς ἀποδείξεις.
fighting the letter from-there for-me take the proofs
τρία ἐν ταῖς παροιμίαις ἐστίν, ἃ εὐόδως πορεύεται,
three in the proverbs there-are which prosperously go

λέων, καὶ τράγος, καὶ ἀλεκτρυών· καὶ βασιλεὺς δημηγορῶν
(a)-lion and (a)-goat and (a)-cock and (a)-king haranguing
ἐν ἔθνει τὸ τέταρτον· ἵνα μὴ λέγω τὰς ἄλλας
in (the)-nation the fourth that not I-may-mention the other
ἐκεῖ τετράδας ἀριθμουμένας, τῇ φύσει δὲ διῃρημένας. καὶ
there fours numbered in-the nature but divided and
δύο τῷ Μωυσεῖ χερουβὶμ εὑρίσκω μοναδικῶς ἀριθμούμενα.
two — in-Moses cherubim I-find singularly numbered
πῶς οὖν ἢ ἐκεῖνα τρία, κατὰ τὴν σὴν τεχνολογίαν,
how then either those three according-to the your technical-reasoning
τοσοῦτον ἀλλήλων ἀπερρηγμένα ταῖς φύσεσιν· ἢ ταῦτα
so-much from-one-another broken-off in-the natures or these
μοναδικά, τοσοῦτον ἀλλήλοις ὁμοφυῆ καὶ συγκείμενα;
singular so-much with-one-another of-same-nature and composite
εἰ γὰρ λέγοιμι θεὸν καὶ μαμωνᾶν δύο κυρίους εἰς ἓν
if for I-should-say God and mammon two lords into one
ἀριθμουμένους, τοσούτῳ μακρὰν ὄντας ἀλλήλων, τάχα
numbered so-far distant being from-one-another perhaps
ἂν καὶ μᾶλλον γελασθείην τῆς συναριθμήσεως.
— even more I-should-be-laughed-at for-the counting-together

Their grammar fails: Scripture counts together things of differing nature, and things named alike, such as the crab that is animal, tool, and star, need not share one substance. Their prepositions from, through, and in divide nothing. Nor is the Spirit's divinity unwritten: Scripture names things that are not and leaves unnamed things that are, as it never says unbegotten, and words follow meanings, not meanings words.

Ἀλλ' ἐμοί, φησιν, ἐκεῖνα συναριθμούμενα λέγεται, καὶ τῆς 19
but to-me he-says those counted-together are-said and of-the
αὐτῆς οὐσίας, οἷς συνεκφωνεῖται καταλλήλως καὶ
same substance with-which are-pronounced-together correspondingly also
τὰ ὀνόματα· οἷον, ἄνθρωποι τρεῖς, καὶ θεοὶ τρεῖς, οὐχὶ
the names as men three and gods three not
τρία τάδε καὶ τάδε. τίς γὰρ ἡ ἀντίδοσις; τοῦτο
three these(-things) and these(-things) what for the exchange this
νομοθετοῦντός ἐστι τοῖς ὀνόμασιν, οὐκ ἀληθεύοντος. ἐπεὶ
of-(one)-legislating is for-the names not speaking-truth since
κἀμοὶ Πέτρος, καὶ Παῦλος, καὶ Ἰωάννης, οὐ τρεῖς, οὐδὲ
to-me-too Peter and Paul and John not three nor
ὁμοούσιοι, ἕως ἂν μὴ τρεῖς Παῦλοι, καὶ τρεῖς Πέτροι, καὶ
consubstantial until — not three Pauls and three Peters and
Ἰωάνναι τοσοῦτοι λέγωνται. ὃ γὰρ σὺ τετήρηκας ἐπὶ
Johns so-many be-called what for you have-observed in-the-case-of
τῶν γενικωτέρων ὀνομάτων, τοῦτο καὶ ἡμεῖς ἀπαιτήσομεν
the more-generic names this also we will-demand
ἐπὶ τῶν εἰδικωτέρων κατὰ τὴν σὴν ἀνάπλασιν. ἢ
in-the-case-of the more-specific according-to the your fashioning or
ἀδικήσεις, μὴ διδοὺς ὅπερ εἴληφας; τί δὲ ὁ Ἰωάννης,
you-will-do-wrong not giving what you-have-taken what and — John
τρεῖς εἶναι τοὺς μαρτυροῦντας λέγων ἐν ταῖς καθολικαῖς,
three to-be the(-ones) bearing-witness saying in the catholic(-letters)

τὸ πνεῦμα, τὸ ὕδωρ, τὸ αἷμα; ἆρά σοι λῆρεῖν φαίνεται,
the spirit the water the blood is-it to-you to-talk-nonsense does-be-seem
πρῶτον μὲν ὅτι τὰ μὴ ὁμοούσια συναριθμῆσαι
first indeed because the(-things) not consubstantial to-count-together
τετόλμηκεν, ὃ τοῖς ὁμοουσίοις σὺ δίδως, — τίς γὰρ
he-has-dared which to-the consubstantial(-things) you grant who for
ἂν εἴποι ταῦτα μιᾶς οὐσίας; — δεύτερον δὲ ὅτι μὴ
— would-say these(-things) of-one substance second and because not
καταλλήλως ἔχων ἀπήντησεν, ἀλλὰ τὸ τρεῖς ἀρρενικῶς
correspondingly being he-met(-them) but the three in-the-masculine
προθείς, τὰ τρία οὐδετέρως ἐπήνεγκε, παρὰ τοὺς σοὺς
having-put-before the three in-the-neuter he-added contrary-to the your
καὶ τῆς σῆς γραμματικῆς ὅρους καὶ νόμους; καίτοι τί
and of-the your grammar boundaries and laws and-yet what
διαφέρει, ἢ τρεῖς προθέντα ἓν καὶ ἓν καὶ ἓν ἐπενεγκεῖν,
does-it-differ either three having-put-before one and one and one to-add
ἢ ἕνα καὶ ἕνα καὶ ἕνα λέγοντα μὴ τρεῖς ἀλλὰ τρία
or one and one and one saying not three but three
προσαγορεύειν; ὅπερ αὐτὸς ἀπαξιοῖς ἐπὶ τῆς θεότητος.
to-call which yourself you-disallow in-the-case-of the godhead
τί δέ σοι ὁ καρκίνος τό τε ζῶον, τό τε ὄργανον, ὅ τε
what and to-you the crab the both animal the and instrument the and
ἀστήρ; τί δὲ ὁ κύων, ὅ τε χερσαῖος, καὶ ὁ ἔνυδρος, καὶ
star what and the dog the both land(-dog) and the water(-dog) and
ὁ οὐράνιος; οὐ τρεῖς λέγεσθαί σοι δοκοῦσι καρκίνοι καὶ
the heavenly not three to-be-called to-you seem crabs and
κύνες; πάντως γε. ἆρα οὖν παρὰ τοῦτο καὶ ὁμοούσιοι;
dogs altogether at-least is-it then on-account-of this also consubstantial
τίς φήσει τῶν νοῦν ἐχόντων; ὁρᾷς ὅπως σοι διαπέπτωκεν
who will-say of-the sense having you-see how for-you has-collapsed
ὁ περὶ τῆς συναριθμήσεως λόγος, τοσούτοις ἐληλεγμένος;
the about the counting-together argument by-so-many refuted

εἰ γὰρ μήτε τὰ ὁμοούσια πάντως συναριθμεῖται,
if for neither the consubstantial(-things) altogether are-counted-together
καὶ συναριθμεῖται τὰ μὴ ὁμοούσια, ἥ τε τῶν ὀνομάτων
and are-counted-together the not consubstantial the and of-the names
συνεκφώνησις ἐπ᾽ ἀμφοῖν, τί σοι πλέον ὧν ἐδογμάτισας;
co-pronunciation in both what to-you more than-what you-dogmatized
Σκοπῶ δὲ κἀκεῖνο, καὶ ἴσως οὐκ ἔξω λόγου. τὸ ἓν καὶ 20
I-consider and that-too and perhaps not outside reason the one and
τὸ ἓν οὐκ εἰς δύο συντίθεται; τὰ δύο δὲ οὐκ εἰς ἓν καὶ
the one not into two is-compounded the two but not into one and
ἓν ἀναλύεται; δῆλον ὅτι. εἰ οὖν ὁμοούσια μὲν τὰ
one is-resolved clear that if then consubstantial indeed the(-things)
συντιθέμενα κατὰ τὸν σὸν λόγον, ἑτεροούσια δὲ τὰ
compounded according-to the your argument other-in-substance but the(-things)
τεμνόμενα, τί συμβαίνει; τὰ αὐτὰ ὁμοούσιά τε εἶναι καὶ
divided what happens the same consubstantial both to-be and
ἑτεροούσια. γελῶ σου καὶ τὰς προαριθμήσεις, καὶ τὰς
other-in-substance I-laugh-at your both the pre-numberings and the
ὑπαριθμήσεις, αἷς σὺ μέγα φρονεῖς, ὥσπερ ἐν τῇ τάξει
sub-numberings in-which you greatly pride-yourself as-if in the order
τῶν ὀνομάτων κειμένων τῶν πραγμάτων. εἰ γὰρ τοῦτο, τί
of-the names lying the things if for this what
κωλύει κατὰ τὸν αὐτὸν λόγον, ἐπειδὴ τὰ αὐτὰ καὶ
prevents according-to the same argument since the same(-things) both
προαριθμεῖται καὶ ὑπαριθμεῖται παρὰ τῇ γραφῇ διὰ τὴν
are-numbered-first and are-numbered-after in the scripture because-of the
ἰσοτιμίαν τῆς φύσεως, αὐτὰ ἑαυτῶν εἶναι τιμιώτερά τε
equality-of-honor of-the nature they than-themselves to-be more-honorable both
καὶ ἀτιμότερα; ὁ δὲ αὐτός μοι καὶ περὶ τῆς Θεὸς φωνῆς
and less-honorable the and same to-me also about the God word
καὶ Κύριος λόγος· ἔτι δὲ τῶν προθέσεων, τῆς ἐξ οὗ, καὶ
and Lord argument still and of-the prepositions the from which and

δι᾽ οὗ, καὶ ἐν ᾧ, αἷς σὺ κατατεχνολογεῖς ἡμῖν τὸ
through which and in which by-which you technically-dissect for-us the
θεῖον, τὴν μὲν τῷ πατρὶ διδούς, τὴν δὲ τῷ υἱῷ,
divine the(-one) indeed to-the father giving the(-other) and to-the son
τὴν δὲ τῷ ἁγίῳ πνεύματι. τί γὰρ ἂν ἐποίησας,
the(-other) and to-the holy spirit what for — would-you-have-done
παγίως ἑκάστου τούτων ἑκάστῳ νενεμημένου· ὁπότε πάντων
fixedly each of-these to-each allotted when all
πᾶσι συντεταγμένων, ὡς δῆλον τοῖς φιλοπόνοις, τοσαύτην
to-all being-co-ordinated as (is)-clear to-the diligent so-great
σὺ διὰ τούτων εἰσάγεις καὶ τῆς ἀξίας καὶ τῆς φύσεως
you through these introduce both of-the dignity and of-the nature
ἀνισότητα; ἀπόχρη καὶ ταῦτα τοῖς μὴ λίαν ἀγνώμοσιν.
inequality suffice also these(-things) for-those not very unreasonable
ἐπεὶ δέ σε τῶν χαλεπῶν ἐστίν, ἅπαξ ἐπιπηδήσαντα τῷ
since and you of-the difficult(-things) it-is once having-leapt-upon the
πνεύματι, τῆς φορᾶς σχεθῆναι, ἀλλὰ μή, καθάπερ τῶν
spirit from-the rush to-be-held-back but not like of-the
συῶν τοὺς θρασυτέρους, εἰς τέλος φιλονεικεῖν, καὶ πρὸς
boars the bolder to end to-contend and against
τὸ ξίφος ὠθίζεσθαι, μέχρις ἂν πᾶσαν εἴσω τὴν πληγὴν
the sword to-push until — all inside the blow
ὑπολάβῃς, φέρε, σκεψώμεθα τίς ἔτι σοι λείπεται λόγος.
you-receive come let-us-consider what still to-you remains argument

21 Πάλιν καὶ πολλάκις ἀνακυκλεῖς ἡμῖν τὸ ἄγραφον. ὅτι μὲν
again and often you-bring-round on-us the unwritten that indeed
οὖν οὐ ξένον τοῦτο, οὐδὲ παρείσακτον, ἀλλὰ καὶ τοῖς
then not strange this nor interpolated but both to-those
πάλαι καὶ τοῖς νῦν γνωριζόμενον καὶ παραγυμνούμενον,
of-old and to-those now known and laid-bare
δέδεικται μὲν ἤδη πολλοῖς τῶν περὶ τούτου
it-has-been-shown indeed already by-many of-those about this

διειληφότων, ὅσοι μὴ ῥᾳθύμως μηδὲ παρέργως ταῖς
having-treated as-many-as not lazily nor incidentally the
θείαις γραφαῖς ἐντυχόντες, ἀλλὰ διασχόντες τὸ γράμμα καὶ
divine scriptures having-read but having-split-open the letter and
εἴσω παρακύψαντες, τὸ ἀπόθετον κάλλος ἰδεῖν ἠξιώθησαν,
inside having-peeped the hidden beauty to-see were-deemed-worthy
καὶ τῷ φωτισμῷ τῆς γνώσεως κατηυγάσθησαν. δηλώσομεν
and by-the illumination of-the knowledge were-enlightened we-will-show
δὲ καὶ ἡμεῖς ἐξ ἐπιδρομῆς, ὅσον ἐνδέχεται, τοῦ μὴ δοκεῖν
and also we in passing as-far-as is-possible for-the not to-seem
εἶναι περιττοί τινες, μηδὲ φιλοτιμότεροι τοῦ δέοντος,
to-be superfluous some nor more-ambitious than-the needful
ἐποικοδομοῦντες ἐπὶ θεμέλιον ἀλλότριον. εἰ δὲ τὸ μὴ
building-up on (a)-foundation another's if but the not
λίαν σαφῶς γεγράφθαι θεὸν μηδὲ πολλάκις ὀνομαστί,
very clearly to-have-been-written God nor often by-name
ὥσπερ τὸν πατέρα πρότερον καὶ τὸν υἱὸν ὕστερον,
as the father first and the son later
αἴτιόν σοι γίνεται βλασφημίας, καὶ τῆς περιττῆς ταύτης
(the)-cause to-you becomes of-blasphemy and of-the excessive this
γλωσσαλγίας καὶ ἀσεβείας, ἡμεῖς σοι λύσομεν ταύτην
garrulity and impiety we for-you will-loose this
τὴν βλάβην, μικρὰ περὶ πραγμάτων καὶ ὀνομάτων καὶ
the harm a-little about things and names and
μάλιστα παρὰ τῇ τῆς γραφῆς συνηθείᾳ φιλοσοφήσαντες.
especially in the of-the scripture usage having-philosophized
Τῶν πραγμάτων τὰ μὲν οὐκ ἔστι, λέγεται δέ· τὰ 22
of-the things some indeed not are are-said but the(-others)
δὲ ὄντα οὐ λέγεται· τὰ δὲ οὔτε ἔστιν, οὔτε λέγεται·
and being not are-said the(-others) and neither are nor are-said
τὰ δὲ ἄμφω, καὶ ἔστι, καὶ λέγεται. τούτων ἀπαιτεῖς με
the(-others) and both both are and are-said of-these you-demand me

τὰς ἀποδείξεις; παρασχεῖν ἕτοιμος. ὑπνοῖ τῇ γραφῇ θεός,
the proofs to-provide (I-am)-ready sleeps in-the scripture God
καὶ γρηγορεῖ, καὶ ὀργίζεται, καὶ βαδίζει, καὶ θρόνον ἔχει τὰ
and wakes and is-angry and walks and (a)-throne has the
χερουβίμ· καίτοι πότε γέγονεν ἐμπαθής; πότε δὲ σῶμα θεὸν
cherubim and-yet when has-he-become passionate when and (a)-body God
ἀκήκοας; τοῦτο οὐκ ὂν ἀνεπλάσθη. ὠνομάσαμεν γάρ, ὡς
have-you-heard this not being was-fashioned we-named for as
ἡμῖν ἐφικτόν, ἐκ τῶν ἡμετέρων τὰ τοῦ θεοῦ. τὸ μὲν
to-us (was)-attainable from the our(-things) the(-things) — of-God the indeed
ἠρεμεῖν αὐτὸν ἀφ' ἡμῶν, καὶ οἷον ἀμελεῖν, δι' ἃς αὐτὸς
to-be-still him from us and as-it-were to-neglect for which himself
οἶδεν αἰτίας, ὑπνοῦν. τὸ γὰρ ἡμέτερον ὑπνοῦν τοιοῦτον,
knows reasons to-sleep the for our sleeping (is)-such
ἀνενέργητόν τε καὶ ἄπρακτον. τὸ δὲ ἀθρόως εὖ ποιεῖν
inactive both and idle the and suddenly well to-do
ἐκ μεταβολῆς, γρηγορεῖν. ὕπνου γὰρ λύσις ἐγρήγορσις,
from change to-wake of-sleep for (the)-loosing (is)-waking
ὥσπερ ἀποστροφῆς ἐπίσκεψις. τὸ δὲ κολάζειν ὀργίζεσθαι
as of-turning-away visitation the and to-punish to-be-angry
πεποιήκαμεν· οὕτω γὰρ ἡμῖν ἐξ ὀργῆς ἡ κόλασις. τὸ δὲ
we-have-made thus for with-us from anger the punishment the and
νῦν μὲν τῇδε, νῦν δὲ τῇδε ἐνεργεῖν, βαδίζειν. ἡ γὰρ ἀπ'
now indeed here now and there to-act to-walk the for from
ἄλλου πρὸς ἄλλο μετάβασις, βαδισμός. τὸ δὲ ἐναναπαύεσθαι
one to another passage (is)-walking the and to-rest-in
ταῖς ἁγίαις δυνάμεσι, καὶ οἷον ἐμφιλοχωρεῖν, καθέζεσθαι
the holy powers and as-it-were to-love-to-dwell to-sit
καὶ θρονίζεσθαι. καὶ τοῦτο ἡμέτερον. οὐδενὶ γὰρ οὕτως ὡς
and to-be-enthroned also this ours in-no-one for so as
τοῖς ἁγίοις τὸ θεῖον ἐναναπαύεται. τὸ δὲ ὀξυκίνητον, πτῆσιν·
in-the saints the divine rests the and swift-moving flight

τὴν δὲ ἐπισκοπήν, πρόσωπον· τὸ διδόναι δὲ καὶ προσίεσθαι,
the and oversight face the to-give but and to-receive
χεῖρα· καὶ ἄλλη τις ὅλως τῶν τοῦ θεοῦ δυνάμεων ἢ
hand and other some wholly of-the — of-God powers or
ἐνεργειῶν ἄλλο τι τῶν σωματικῶν ἡμῖν ἀνεζωγράφησεν.
activities other something of-the bodily(-things) to-us has-depicted
Πάλιν σὺ πόθεν τὸ ἀγέννητον λαβὼν ἔχεις, ἢ τὸ 23
again you whence the unbegotten having-taken have(-it) or the
ἄναρχον, τὰς σὰς ἀκροπόλεις, ἢ καὶ ἡμεῖς τὸ ἀθάνατον;
beginningless the your citadels or also we the immortal
δεῖξον ταῦτα ὀνομαστί, ἢ διαγράψομεν, καὶ τέθνηκας ἐκ
show these(-things) by-name or we-will-strike-out and you-are-dead from
τῶν σῶν ὑποθέσεων, καθαιρεθέντων σοι τῶν ὀνομάτων,
the your hypotheses destroyed for-you the names
καὶ τοῦ τείχους τῆς καταφυγῆς ἐφ' ᾧ ἐπεποίθεις. ἢ δῆλον
and the wall of-the refuge in which you-trusted or clear
ὅτι ἐκ τῶν ταῦτα συναγόντων, κἂν μὴ ταῦτα
that from the(-texts) these(-things) collecting even-if not these(-things)
λέγηται; τίνων τούτων; Ἐγώ εἰμι πρῶτος, καὶ ἐγὼ μετὰ
be-said which these I am first and I after
ταῦτα. καί, Πρὸ ἐμοῦ οὐκ ἔστιν ἄλλος θεός, καὶ μετ'
these(-things) and before me not is other God and after
ἐμὲ οὐκ ἔσται. ὅλον γὰρ τὸ ἔστιν ἐμόν· οὔτε ἠργμένον,
me not will-be whole for the is mine neither having-begun
οὔτε παυσόμενον. ταῦτα λαβών, τὸ μὲν μὴ εἶναί
nor going-to-cease these(-things) having-taken the indeed not to-be
τι πρὸ αὐτοῦ, μηδὲ πρεσβυτέραν αἰτίαν ἔχειν, ἄναρχον
anything before him nor older cause to-have beginningless
προσηγόρευσας, καὶ ἀγέννητον· τὸ δὲ μὴ στήσεσθαι τοῦ
you-called and unbegotten the and not to-stop from-the
εἶναι, ἀθάνατον καὶ ἀνώλεθρον. αἱ μὲν δὴ πρῶται
to-be immortal and indestructible the indeed truly first

συζυγίαι τοιαῦται, καὶ οὕτως ἔχουσαι. τίνα δὲ οὔτε ἔστιν,
pairs such and so being which and neither are
οὔτε λέγεται; πονηρὸν τὸ θεῖον, ἡ σφαῖρα τετράγωνος, τὸ
nor are-said evil the divine the sphere square the
παρελθὸν ἐνέστηκεν, οὐ σύνθετον ὁ ἄνθρωπος. τίνα γὰρ εἰς
past is-present not composite the man whom for to
τοσοῦτόν ποτε ἐμπληξίας ἀφικόμενον ἔγνως, ὥστε τι
so-much ever of-stupidity having-come did-you-know so-that anything
τοιοῦτον ἢ ἐννοῆσαι τολμῆσαι, ἢ ἀποφήνασθαι; λείπεται
such either to-think to-dare or to-declare it-remains
δεῖξαι τίνα καὶ ἔστι καὶ λέγεται· θεός, ἄνθρωπος,
to-show which(-things) both are and are-said God man
ἄγγελος, κρίσις· ματαιότης οἱ τοιοῦτοι συλλογισμοί, καὶ
angel judgment vanity the such syllogisms and
τῆς πίστεως ἀνατροπή, καὶ τοῦ μυστηρίου κένωσις.
of-the faith overthrow and of-the mystery emptying

24 Τοσαύτης οὖν οὔσης διαφορᾶς ἐν τοῖς ὀνόμασι καὶ τοῖς
so-great then being difference in the names and the
πράγμασι, πῶς οὕτω σὺ λίαν δουλεύεις τῷ γράμματι, καὶ
things how thus you very serve the letter and
γίνῃ μετὰ τῆς Ἰουδαικῆς σοφίας, καὶ συλλαβαῖς ἀκολουθεῖς,
become with the Jewish wisdom and syllables follow
ἀφεὶς τὰ πράγματα; εἰ δὲ σοῦ τὰ δὶς πέντε λέγοντος, ἢ τὰ
having-let-go the things if but you the twice five saying or the
δὶς ἑπτά, τὰ δέκα συνῆγον, ἢ τέσσαρες καὶ δέκα ἐκ τῶν
twice seven the ten I-gathered or four and ten from the(-things)
λεγομένων· ἢ ἐκ τοῦ ζῶον λογικόν, θνητόν, τὸν ἄνθρωπον,
said or from the animal rational mortal the man
ἆρα ἄν σοι ληρεῖν ἐνομίσθην; καὶ πῶς, τὰ σὰ
is-it — to-you to-talk-nonsense I-should-have-been-thought and how the your
λέγων; οὐ γὰρ τοῦ λέγοντος μᾶλλον οἱ λόγοι, ἢ τοῦ
saying not for of-the(-one) saying more the words than of-the(-one)

λέγειν συναναγκάζοντος. ὥσπερ οὖν ἐνταῦθα οὐκ ἂν τὰ
to-say compelling as then here not — the(-things)
λεγόμενα μᾶλλον ἐσκόπουν, ἢ τὰ νοούμενα·
said rather I-would-have-considered than the(-things) meant
οὕτως οὐδὲ εἴ τι ἄλλο τῶν μὴ λεγομένων, ἢ μὴ
thus not-even if anything other of-the(-things) not said or not
σαφῶς, ἐκ τῆς γραφῆς νοούμενον ηὕρισκον, ἔφυγον
clearly from the scripture meant I-found I-would-have-fled
ἂν τὴν ἐκφώνησιν, φοβούμενος σὲ τὸν συκοφάντην τῶν
— the utterance fearing you the slanderer of-the
ὀνομάτων. οὕτω μὲν οὖν στησόμεθα πρὸς τοὺς ἐξ ἡμισείας
names thus indeed then we-will-stand against those by half
εὐγνώμονας. σοὶ γὰρ οὐδὲ τοῦτο ἔξεστι λέγειν. ὁ
reasonable to-you for not-even this is-permitted to-say the(-one)
γὰρ τὰς τοῦ υἱοῦ προσηγορίας οὕτως ἐναργεῖς οὔσας καὶ
for the of-the son titles so clear being and
τοσαύτας ἀρνούμενος, οὐδ' ἂν ταύτας ἠδέσθης
so-many denying not-even — these you-would-have-respected
δῆλον ὅτι, καὶ εἰ πολλῷ σαφεστέρας καὶ πλείους ἐγίνωσκες.
clear that even if much clearer and more you-knew
ἤδη δὲ καὶ τὴν αἰτίαν δηλώσω τῆς πάσης ἐπικρύψεως,
already and also the cause I-will-show of-the whole concealment
καίπερ σοφοῖς οὖσιν ὑμῖν, βραχύ τι τὸν λόγον ἀναγαγών.
although to-wise being you briefly a-little the argument having-brought-back

Two great changes have shaken the world, from idols to the Law and from the Law to the Gospel, each made gradually so that men were persuaded, not forced. Theology advanced likewise, by additions: the Old Testament proclaimed the Father and hinted at the Son, the New revealed the Son and hinted at the Spirit, whose divinity the disciples could not yet bear. Gregory confesses one Godhead in three: the Spirit who deifies in baptism is God.

25 Δύο γεγόνασι μεταθέσεις βίων ἐπιφανεῖς ἐκ τοῦ παντὸς
two have-come-to-be changes of-lives conspicuous from the whole
αἰῶνος, αἳ καὶ δύο διαθῆκαι καλοῦνται, καὶ σεισμοὶ γῆς,
age which also two covenants are-called and shakings of-earth
διὰ τὸ τοῦ πράγματος περιβόητον· ἡ μὲν ἀπὸ τῶν
because-of the of-the matter notoriety the(-one) indeed from the
εἰδώλων ἐπὶ τὸν νόμον, ἡ δὲ ἀπὸ τοῦ νόμου πρὸς τὸ
idols to the law the(-other) and from the law to the
εὐαγγέλιον. καὶ τρίτον σεισμὸν εὐαγγελιζόμεθα, τὴν ἐντεῦθεν
gospel and (a)-third shaking we-proclaim the from-here
ἐπὶ τὰ ἐκεῖσε μετάστασιν, τὰ μηκέτι κινούμενα,
to the(-things) there removal the(-things) no-longer moved
μηδὲ σαλευόμενα. ταὐτὸν δὲ αἱ δύο διαθῆκαι πεπόνθασι.
nor shaken the-same and the two covenants have-suffered
τί τοῦτο; οὐκ ἀθρόως μετεκινήθησαν, οὐδὲ ὁμοῦ τῇ
what (is)-this not all-at-once they-were-changed nor together with-the
πρώτῃ κινήσει τῆς ἐγχειρήσεως. τίνος ἕνεκεν; εἰδέναι γὰρ
first movement of-the undertaking of-what for-the-sake to-know for
ἀναγκαῖον. ἵνα μὴ βιασθῶμεν, ἀλλὰ πεισθῶμεν. τὸ μὲν
(is)-necessary that not we-may-be-forced but we-may-be-persuaded the indeed
γὰρ ἀκούσιον οὐδὲ μόνιμον· ὥσπερ ἃ βίᾳ κατέχεται
for involuntary not-even lasting as which by-force are-held-back
τῶν ῥευμάτων ἢ τῶν φυτῶν· τὸ δὲ ἑκούσιον μονιμώτερόν
of-the streams or of-the plants the but voluntary more-lasting

τε καὶ ἀσφαλέστερον. καὶ τὸ μὲν τοῦ βιασαμένου,
both and safer and the(-one) indeed of-the(-one) having-forced
τὸ δὲ ἡμέτερον· καὶ τὸ μὲν ἐπιεικείας θεοῦ,
the(-other) and ours and the(-one) indeed of-(the)-reasonableness of-God
τὸ δὲ τυραννικῆς ἐξουσίας. οὔκουν ᾤετο δεῖν
the(-other) and of-tyrannical power not-then he-thought (one)-must
ἄκοντας εὖ ποιεῖν, ἀλλ' ἑκόντας εὐεργετεῖν. διὰ τοῦτο
unwilling(-ones) well to-treat but willing(-ones) to-benefit because-of this
παιδαγωγικῶς τε καὶ ἰατρικῶς τὸ μὲν ὑφαιρεῖ τῶν
pedagogically both and medically the(-one) indeed he-withdraws of-the
πατρίων, τὸ δὲ συγχωρεῖ, μικρόν τι τῶν
ancestral(-things) the(-other) and concedes a-little something of-the(-things)
πρὸς ἡδονὴν ἐνδιδούς· ὥσπερ οἱ ἰατροὶ τοῖς ἀρρωστοῦσιν,
toward pleasure granting as the physicians to-the sick
ἵνα ἡ φαρμακεία παραδεχθῇ διὰ τῆς τέχνης φαρματτομένη
that the medicine be-accepted through the art being-seasoned
τοῖς χρηστοτέροις. οὐ γὰρ ῥᾴστη τῶν ἐν ἔθει καὶ μακρῷ
with-the more-palatable not for easiest of-the in custom and long
χρόνῳ τετιμημένων ἡ μετάθεσις. λέγω δὲ τί; ἡ πρώτη
time honored(-things) the change I-mean and what the first
τὰ εἴδωλα περικόψασα τὰς θυσίας συνεχώρησεν· ἡ δευτέρα
the idols having-cut-off the sacrifices allowed the second
τὰς θυσίας περιελοῦσα τὴν περιτομὴν οὐκ ἐκώλυσεν· εἶτα
the sacrifices having-removed the circumcision not forbade then
ὡς ἅπαξ ἐδέξαντο τὴν ὑφαίρεσιν, καὶ τὸ συγχωρηθὲν
as once they-accepted the withdrawal also the(-thing) conceded
συνεχώρησαν· οἱ μὲν τὰς θυσίας, οἱ δὲ τὴν
they-conceded the(-ones) indeed the sacrifices the(-others) and the
περιτομήν· καὶ γεγόνασιν, ἀντὶ μὲν ἐθνῶν, Ἰουδαῖοι·
circumcision and they-became instead-of indeed nations Jews
ἀντὶ δὲ τούτων, Χριστιανοί, ταῖς κατὰ μέρος μεταθέσεσι
instead-of and these Christians by-the in part changes

κλαπέντες ἐπὶ τὸ εὐαγγέλιον. πειθέτω σὲ τοῦτο Παῦλος,
stolen-away to the gospel let-persuade you this Paul
ἐκ τοῦ περιτέμνειν καὶ ἁγνίζεσθαι προελθὼν ἐπὶ τὸ λέγειν·
from the to-circumcise and to-be-purified having-advanced to the to-say
Ἐγὼ δέ, ἀδελφοί, εἰ περιτομὴν κηρύσσω, τί ἔτι διώκομαι;
I but brothers if circumcision I-preach why still am-I-persecuted
ἐκεῖνο τῆς οἰκονομίας, τοῦτο τῆς τελειότητος.
that (was)-of-the dispensation this of-the perfection
26 Τούτῳ τὸ τῆς θεολογίας εἰκάζειν ἔχω, πλὴν ὅσον
to-this the(-matter) of-the theology to-compare I-can except as-far-as
ἐκ τῶν ἐναντίων. ἐκεῖ μὲν γὰρ ἐκ τῶν ὑφαιρέσεων ἡ
from the opposites there indeed for by the withdrawals the
μετάθεσις· ἐνταῦθα δὲ διὰ τῶν προσθηκῶν ἡ τελείωσις.
change here and through the additions the perfecting
ἔχει γὰρ οὕτως. ἐκήρυσσε φανερῶς ἡ παλαιὰ τὸν πατέρα,
it-is for thus proclaimed openly the old the father
τὸν υἱὸν ἀμυδρότερον. ἐφανέρωσεν ἡ καινὴ τὸν υἱόν, ὑπέδειξε
the son more-dimly manifested the new the son showed
τοῦ πνεύματος τὴν θεότητα. ἐμπολιτεύεται νῦν τὸ πνεῦμα,
of-the spirit the godhead dwells-among now the spirit
σαφεστέραν ἡμῖν παρέχον τὴν ἑαυτοῦ δήλωσιν. οὐ γὰρ ἦν
clearer to-us providing the of-itself manifestation not for it-was
ἀσφαλές, μήπω τῆς τοῦ πατρὸς θεότητος ὁμολογηθείσης, τὸν
safe not-yet the of-the father godhead having-been-confessed the
υἱὸν ἐκδήλως κηρύττεσθαι· μηδὲ τῆς τοῦ υἱοῦ παραδεχθείσης,
son openly to-be-proclaimed nor the of-the son having-been-accepted
τὸ πνεῦμα τὸ ἅγιον, ἵν' εἴπω τι καὶ τολμηρότερον,
the spirit the holy that I-may-say something even bolder
ἐπιφορτίζεσθαι· μὴ καθάπερ τροφῇ τῇ ὑπὲρ δύναμιν
to-be-heaped-on lest as with-food the beyond strength
βαρηθέντες, καὶ ἡλιακῷ φωτὶ σαθροτέραν ἔτι προσβαλόντες
weighed-down and to-solar light weaker still having-applied

τὴν ὄψιν, καὶ εἰς τὸ κατὰ δύναμιν κινδυνεύσωσι· ταῖς
the sight also as-to the according-to strength they-might-run-risk by-the
δὲ κατὰ μέρος προσθήκαις, καί, ὡς εἶπε Δαβίδ, ἀναβάσεσι,
but in part additions and as said David ascents
καὶ ἐκ δόξης εἰς δόξαν προόδοις καὶ προκοπαῖς, τὸ τῆς
and from glory to glory advances and progressions the of-the
τριάδος φῶς ἐκλάμψῃ τοῖς λαμπροτέροις. διὰ ταύτην,
trinity light may-shine-out on-the more-illumined because-of this
οἶμαι, τὴν αἰτίαν καὶ τοῖς μαθηταῖς κατὰ μέρος ἐπιδημεῖ,
I-think the cause also to-the disciples in part it-sojourns
τῇ τῶν δεχομένων δυνάμει παραμετρούμενον, ἐν ἀρχῇ
by-the of-those receiving capacity measured in (the)-beginning
τοῦ εὐαγγελίου, μετὰ τὸ πάθος, μετὰ τὴν ἄνοδον, τὰς
of-the gospel after the passion after the ascension the
δυνάμεις ἐπιτελοῦν, ἐμφυσώμενον, ἐν γλώσσαις πυρίναις
powers accomplishing breathed-in in tongues of-fire
φαινόμενον. καὶ ὑπὸ Ἰησοῦ κατ᾽ ὀλίγον ἐκφαίνεται, ὡς
appearing and by Jesus by little it-is-revealed as
ἐπιστήσεις καὶ αὐτὸς ἐντυγχάνων ἐπιμελέστερον· Ἐρωτήσω,
you-will-observe also yourself reading more-carefully I-will-ask
φησί, τὸν πατέρα, καὶ ἄλλον παράκλητον πέμψει ὑμῖν, τὸ
he-says the father and another advocate he-will-send you the
πνεῦμα τῆς ἀληθείας· ἵνα μὴ ἀντίθεος εἶναί δόξῃ τις,
spirit of-the truth that not rival-God to-be he-may-seem a-kind-of
καὶ ὡς ἀπ᾽ ἄλλης τινὸς ἐξουσίας ποιεῖσθαι τοὺς λόγους.
and as from another some authority to-make the words
εἶτα, Πέμψει μέν, ἐν δὲ τῷ ὀνόματί μου. τὸ Ἐρωτήσω
then he-will-send indeed in but the name of-me the I-will-ask
παρείς, τὸ Πέμψει τετήρηκεν. εἶτα, Πέμψω, τὸ οἰκεῖον
having-dropped the he-will-send he-has-kept then I-will-send the own
ἀξίωμα· εἶτα, Ἥξει, ἡ τοῦ πνεύματος ἐξουσία.
dignity then he-will-come the of-the spirit authority

27 Ὁρᾷς φωτισμοὺς κατὰ μέρος ἡμῖν ἐλλάμποντας, καὶ
you-see illuminations in part on-us shining and
τάξιν θεολογίας, ἣν καὶ ἡμᾶς τηρεῖν ἄμεινον, μήτε
(an)-order of-theology which also us to-keep (is)-better neither
ἀθρόως ἐκφαίνοντας, μήτε εἰς τέλος κρύπτοντας. τὸ
all-at-once revealing nor to (the)-end concealing the(-one)
μὲν γὰρ ἄτεχνον, τὸ δὲ ἄθεον· καὶ τὸ μὲν τοὺς
indeed for (is)-unskilled the(-other) and godless and the(-one) indeed the
ἀλλοτρίους πλῆξαι δυνάμενον, τὸ δὲ ἀλλοτριῶσαι τοὺς
outsiders to-strike able the(-other) and to-alienate the
ἡμετέρους. ὃ δὲ ἴσως μὲν ἤδη τισὶν ἦλθεν ἐπὶ νοῦν καὶ
ours what and perhaps indeed already to-some came to mind also
τῶν ἄλλων, ἐγὼ δὲ τῆς ἐμαυτοῦ διανοίας ὑπολαμβάνω
of-the others I but of-the my-own mind I-take
καρπόν, προσθήσω τοῖς εἰρημένοις. ἦν τινὰ τῷ
(it-to-be)-fruit I-will-add to-the said(-things) there-were some(-things) to-the
σωτῆρι, καὶ εἰ πολλῶν ἐνεπίμπλαντο μαθημάτων, ἃ μὴ
savior even if many they-were-filled of-teachings which not
δύνασθαι τότε βασταχθῆναι τοῖς μαθηταῖς ἐλέγετο, δι᾽
to-be-able then to-be-borne by-the disciples were-said because-of
ἃς εἶπον ἴσως αἰτίας, καὶ διὰ τοῦτο παρεκαλύπτετο·
which I-said perhaps reasons and because-of this were-veiled
καὶ πάλιν πάντα διδαχθήσεσθαι ἡμᾶς ὑπὸ τοῦ πνεύματος
and again all(-things) to-be-taught us by the spirit
ἐνδημήσαντος. τούτων ἓν εἶναι νομίζω καὶ αὐτὴν τοῦ
having-come-to-dwell of-these one to-be I-think also itself of-the
πνεύματος τὴν θεότητα, τρανουμένην εἰς ὕστερον, ὡς
spirit the godhead made-clear to later as
τηνικαῦτα ὡρίμου καὶ χωρητῆς ἤδη τυγχανούσης τῆς
then ripe and capacious already being the
γνώσεως, μετὰ τὴν τοῦ σωτῆρος ἀποκατάστασιν, οὐκέτι
knowledge after the of-the savior restoration no-longer

ἀπιστουμένου τῷ θαύματι. τί γὰρ ἂν τούτου μεῖζον
disbelieved by-the wonder what for — than-this greater
ἢ ἐκεῖνος ὑπέσχετο, ἢ τὸ πνεῦμα ἐδίδαξεν; εἴπερ τι
either he promised or the spirit taught if-indeed anything
μέγα οἴεσθαι χρή, καὶ θεοῦ μεγαλοπρεπείας ἄξιον,
great to-think (one)-must and of-God magnificence worthy
τὸ ὑπισχνούμενον, ἢ τὸ διδασκόμενον.
the(-thing) promised or the(-thing) taught
Ἔχω μὲν οὕτω περὶ τούτων, καὶ ἔχοιμι, καὶ ὅς τις ἐμοὶ 28
I-hold indeed thus about these(-things) and may-I-hold and who — to-me
φίλος, — σέβειν θεὸν τὸν πατέρα, θεὸν τὸν υἱόν, θεὸν
(is)-friend to-revere God the father God the son God
τὸ πνεῦμα τὸ ἅγιον, τρεῖς ἰδιότητας, θεότητα μίαν, δόξῃ,
the spirit the holy three properties godhead one in-glory
καὶ τιμῇ, καὶ οὐσίᾳ, καὶ βασιλείᾳ μὴ μεριζομένην, ὡς τις
and honor and substance and kingdom not divided as one
τῶν μικρῷ πρόσθεν θεοφόρων ἐφιλοσόφησεν· ἢ μὴ ἴδοι
of-the a-little before God-bearers philosophized or not may-he-see
ἑωσφόρον ἀνατέλλοντα, ὥς φησιν ἡ γραφή, μηδὲ δόξαν
(the)-morning-star rising as says the scripture nor (the)-glory
τῆς ἐκεῖθεν λαμπρότητος, ὅς τις οὐχ οὕτως ἔχει, ἢ
of-the from-there brightness who — not thus holds or
συμφέρεται τοῖς καιροῖς, ἄλλοτε ἄλλος γινόμενος, καὶ περὶ
goes-along with-the times at-one-time other becoming and about
τῶν μεγίστων σαθρῶς βουλευόμενος. εἰ μὲν γὰρ οὐδὲ
the greatest(-things) unsoundly deliberating if indeed for not-even
προσκυνητόν, πῶς ἐμὲ θεοῖ διὰ τοῦ βαπτίσματος; εἰ
worshipful how me does-it-deify through the baptism if
δὲ προσκυνητόν, πῶς οὐ σεπτόν; εἰ δὲ σεπτόν, πῶς οὐ
but worshipful how not venerable if and venerable how not
θεός; ἓν ἤρτηται τοῦ ἑνός, ἡ χρυσῆ τις ὄντως σειρὰ καὶ
God one is-hung-from the one the golden some truly chain and

σωτήριος. καὶ παρὰ μὲν τοῦ πνεύματος ἡμῖν ἡ ἀναγέννησις·
saving and from indeed the spirit to-us the regeneration
παρὰ δὲ τῆς ἀναγεννήσεως ἡ ἀνάπλασις· παρὰ δὲ τῆς
from and the regeneration the refashioning from and the
ἀναπλάσεως ἡ ἐπίγνωσις τῆς ἀξίας τοῦ ἀναπλάσαντος.
refashioning the knowledge of-the worth of-the(-one) having-refashioned

XXI · THE SPIRIT'S NAMES

Scripture heaps names and works on the Spirit: he attends Christ's birth, baptism, and temptation, is called Spirit of God, of Christ, of adoption, and of wisdom, creates, renews, deifies, and divides gifts; his lowlier titles point to the first cause. Gregory sought an image of the Trinity in eye, spring, and river, in sun, ray, and light, and in another's sunlight flickering on a wall, found none sufficient, and keeps to the Spirit's guidance.

29 Ταῦτα μὲν οὖν εἴποι τις ἂν τὸ ἄγραφον ὑποθέμενος·
these(-things) indeed then might-say someone — the unwritten having-supposed
ἤδη δὲ ἥξει σοι καὶ ὁ τῶν μαρτυριῶν ἐσμός, ἐξ
already and will-come to-you also the of-the testimonies swarm from
ὧν, ὅτι καὶ λίαν ἔγγραφος, ἡ τοῦ πνεύματος θεότης
which that even very written the of-the spirit godhead
ἐπιδειχθήσεται τοῖς μὴ λίαν σκαιοῖς, μηδὲ ἀλλοτρίοις τοῦ
will-be-shown to-those not very stupid nor strangers to-the
πνεύματος. σκόπει δὲ οὕτως· γεννᾶται Χριστός, προτρέχει·
spirit consider and thus is-born Christ it-runs-before
βαπτίζεται, μαρτυρεῖ· πειράζεται, ἀνάγει· δυνάμεις ἐπιτελεῖ,
he-is-baptized it-bears-witness he-is-tempted it-leads-up powers he-accomplishes
συμπαρομαρτεῖ· ἀνέρχεται, διαδέχεται. τί γὰρ οὐ δύναται
it-accompanies he-ascends it-succeeds what for not can-it
τῶν μεγάλων, καὶ ὧν θεός; τί δὲ οὐ προσαγορεύεται
of-the great(-things) and of-which God what and not is-it-called

ὧν θεός, πλὴν ἀγεννησίας καὶ γεννήσεως; ἔδει
of-which God except unbegottenness and generation it-was-necessary
γὰρ τὰς ἰδιότητας μεῖναι πατρὶ καὶ υἱῷ, ἵνα μὴ σύγχυσις
for the properties to-remain to-father and to-son that not confusion
ᾖ παρὰ θεότητι, τῇ καὶ τἄλλα εἰς τάξιν ἀγούσῃ
be in godhead the(-one) also the-other(-things) into order bringing
καὶ εὐκοσμίαν. ἐγὼ μὲν φρίττω τὸν πλοῦτον ἐννοῶν
and good-arrangement I indeed shudder the wealth considering
τῶν κλήσεων, καὶ καθ' ὅσων ὀνομάτων ἀναισχυντοῦσιν
of-the names and against how-many names are-shameless
οἱ τῷ πνεύματι ἀντιπίπτοντες. πνεῦμα θεοῦ λέγεται,
those to-the spirit opposing spirit of-God it-is-called
πνεῦμα Χριστοῦ, νοῦς Χριστοῦ, πνεῦμα κυρίου, αὐτὸ
spirit of-Christ mind of-Christ spirit of-lord itself
κύριος· πνεῦμα υἱοθεσίας, ἀληθείας, ἐλευθερίας· πνεῦμα
lord spirit of-adoption of-truth of-freedom spirit
σοφίας, συνέσεως, βουλῆς, ἰσχύος, γνώσεως, εὐσεβείας,
of-wisdom of-understanding of-counsel of-might of-knowledge of-piety
φοβοῦ θεοῦ· καὶ γὰρ ποιητικὸν τούτων ἁπάντων· πάντα
of-fear of-God and for productive of-these all all(-things)
τῇ οὐσίᾳ πληροῦν, πάντα συνέχον· πληρωτικὸν κόσμου
in-the substance filling all(-things) holding-together filling-up (the)-world
κατὰ τὴν οὐσίαν, ἀχώρητον κόσμῳ κατὰ τὴν
according-to the substance uncontainable by-(the)-world according-to the
δύναμιν· ἀγαθόν, εὐθές, ἡγεμονικόν, φύσει οὐ θέσει·
power good upright sovereign by-nature not by-adoption
ἁγιάζον, οὐχ ἁγιαζόμενον, μετροῦν, οὐ μετρούμενον,
sanctifying not sanctified measuring not measured
μετεχόμενον, οὐ μετέχον, πληροῦν, οὐ πληρούμενον,
partaken not partaking filling not filled
συνέχον, οὐ συνεχόμενον· κληρονομούμενον, δοξαζόμενον,
holding-together not held-together inherited glorified

συναριθμούμενον, ἐπαπειλούμενον· δάκτυλος θεοῦ, πῦρ ὡς
counted-with threatened finger of-God fire as
θεός, εἰς ἔμφασιν, οἶμαι, τοῦ ὁμοουσίου· πνεῦμα τὸ ποιῆσαν,
God to manifestation I-think of-the consubstantial spirit the having-made
τὸ ἀνακτίζον διὰ βαπτίσματος, δι' ἀναστάσεως· πνεῦμα
the re-creating through baptism through resurrection spirit
τὸ γινῶσκον ἅπαντα, τὸ διδάσκον, τὸ πνέον ὅπου θέλει
the knowing all(-things) the teaching the blowing where it-wills
καὶ ὅσον, ὁδηγοῦν, λαλοῦν, ἀποστέλλον, ἀφορίζον,
and as-much-as guiding speaking sending separating
παροξυνόμενον, πειραζόμενον· ἀποκαλυπτικόν, φωτιστικόν,
provoked tempted revealing enlightening
ζωτικόν, μᾶλλον δὲ αὐτοφῶς καὶ ζωή· ναοποιοῦν,
life-giving rather and self-light and life temple-making
θεοποιοῦν, τελειοῦν, ὥστε καὶ προλαμβάνειν τὸ βάπτισμα,
deifying perfecting so-that even to-anticipate the baptism
καὶ ἐπιζητεῖσθαι μετὰ τὸ βάπτισμα· ἐνεργοῦν ὅσα θεός,
and to-be-sought-after after the baptism working as-much-as God
μεριζόμενον ἐν γλώσσαις πυρίναις, διαιροῦν χαρίσματα,
divided in tongues of-fire distributing gifts
ποιοῦν ἀποστόλους, προφήτας, εὐαγγελιστάς, ποιμένας, καὶ
making apostles prophets evangelists shepherds and
διδασκάλους· νοερόν, πολυμερές, σαφές, τρανόν, ἀκώλυτον,
teachers intellectual of-many-parts clear distinct unhindered
ἀμόλυντον· ᾧπερ ἴσον δύναται τὸ σοφώτατον καὶ
undefiled to-which-indeed equal amounts the most-wise and
πολύτροπον ταῖς ἐνεργείαις, καὶ σαφηνιστικὸν πάντων,
manifold in-the activities and clarifying of-all
καὶ τρανωτικόν, καὶ αὐτεξούσιον, καὶ ἀναλλοίωτον·
and making-distinct and self-determining and unchangeable
παντοδύναμον, παντεπίσκοπον, διὰ πάντων χωροῦν
all-powerful all-overseeing through all passing

πνευμάτων νοερῶν, καθαρῶν, λεπτοτάτων, ἀγγελικῶν,
spirits intellectual pure most-subtle angelic
οἶμαι, δυνάμεων, ὥσπερ καὶ προφητικῶν καὶ ἀποστολικῶν,
I-think powers as also prophetic and apostolic
κατὰ ταὐτό, καὶ οὐκ ἐν τοῖς αὐτοῖς τόποις, ἄλλων δὲ
at the-same(-time) and not in the same places of-others but
ἀλλαχοῦ νενεμημένων, ᾧ δηλοῦται τὸ ἀπερίγραπτον.
elsewhere distributed by-which is-shown the uncircumscribed
Οἱ ταῦτα λέγοντες καὶ διδάσκοντες, καὶ πρός γε 30
those these(-things) saying and teaching and besides at-least
ἄλλον παράκλητον, οἷον ἄλλον θεόν, ὀνομάζοντες, οἱ
another advocate as-it-were another God naming those
τὴν εἰς αὐτὸ βλασφημίαν μόνην εἰδότες ἀσυγχώρητον,
the against it blasphemy alone knowing (as)-unpardonable
οἱ τὸν Ἀνανίαν καὶ τὴν Σάπφειραν οὕτω φοβερῶς
those — Ananias and — Sapphira thus fearfully
στηλιτεύσαντες, ἐπειδὴ ἐψεύσαντο τὸ πνεῦμα τὸ ἅγιον, ὡς
having-pilloried since they-lied-to the spirit the holy as
θεὸν ψευσαμένους, οὐκ ἄνθρωπον· οὗτοι τί σοι δοκοῦσι,
God having-lied-to not man these what to-you do-they-seem
πότερον θεὸν τὸ πνεῦμα κηρύσσειν, ἢ ἄλλο τι; ὡς
whether God the spirit to-proclaim or other something as
λίαν ὄντως παχύς τις εἶ, καὶ πόρρω τοῦ πνεύματος,
very truly dense someone if even far from-the spirit
εἰ τοῦτο ἀπορεῖς, καὶ δέῃ τοῦ διδάξοντος. αἱ μὲν
if this you-doubt and you-need of-the(-one) going-to-teach the indeed
οὖν κλήσεις τοσαῦται καὶ οὕτως ἔμψυχοι. τί γὰρ δεῖ
then names so-many and so living why for (one)-must
σοι τὰς ἐπὶ τῶν ῥημάτων μαρτυρίας παρατίθεσθαι;
for-you the from the words testimonies to-set-forth
ὅσα δὲ κἀνταῦθα λέγεται ταπεινότερον, τὸ δίδοσθαι, τὸ
whatever and here-too is-said more-lowly the to-be-given the

ἀποστέλλεσθαι, τὸ μερίζεσθαι, τὸ χάρισμα, τὸ δώρημα, τὸ
to-be-sent the to-be-divided the gift the present the
ἐμφύσημα, ἡ ἐπαγγελία, ἡ ὑπερέντευξις, εἴτε τι ἄλλο
inbreathing the promise the intercession or anything other
τοιοῦτον, ἵνα μὴ καθ' ἕκαστον λέγω, ἐπὶ τὴν πρώτην
such that not in each I-may-speak to the first
αἰτίαν ἀνενεκτέον, ἵνα τὸ ἐξ οὗ δειχθῇ, καὶ μὴ τρεῖς
cause must-be-referred that the from which be-shown and not three
ἀρχαὶ μεμερισμέναι πολυθέως παραδεχθῶσιν. ἴσον γὰρ εἰς
principles divided polytheistically be-accepted equal for into
ἀσέβειαν, καὶ Σαβελλίως συνάψαι, καὶ Ἀρειανῶς διαστῆσαι,
impiety both Sabellianly to-conjoin and Arianly to-separate
τὸ μὲν τῷ προσώπῳ, τὸ δὲ ταῖς φύσεσιν.
the(-one) indeed in-the person the(-other) and in-the natures

31 Ὡς ἔγωγε πολλὰ διασκεψάμενος πρὸς ἐμαυτὸν τῇ
as I-for-my-part much having-considered with myself by-the
φιλοπραγμοσύνῃ τοῦ νοῦ, καὶ πανταχόθεν τὸν λόγον
busy-inquiry of-the mind and from-every-side the argument
εὐθύνας, καὶ ζητῶν εἰκόνα τινὰ τοῦ τοσούτου πράγματος,
having-scrutinized and seeking image some of-the so-great matter
οὐκ ἔσχον ᾧ τινὶ χρὴ τῶν κάτω τὴν θείαν φύσιν
not I-had to-what some (one)-must of-the below(-things) the divine nature
παραβαλεῖν. κἂν γὰρ μικρά τις ὁμοίωσις εὑρεθῇ, φεύγει τὸ
to-compare even-if for small some likeness be-found escapes the
πλεῖον, ἀφέν με κάτω μετὰ τοῦ ὑποδείγματος. ὀφθαλμόν
greater having-left me below with the example eye
τινα, καὶ πηγήν, καὶ ποταμὸν ἐνενόησα, καὶ γὰρ καὶ
some and spring and river I-conceived and for also
ἄλλοι, μὴ τῷ μὲν ὁ πατήρ, τῇ δὲ ὁ υἱός, τῷ δὲ τὸ
others lest to-the indeed the father to-the and the son to-the and the
πνεῦμα τὸ ἅγιον ἀναλόγως ἔχῃ. ταῦτα γὰρ οὔτε χρόνῳ
spirit the holy analogously may-be these(-things) for neither by-time

διέστηκεν, οὔτε ἀλλήλων ἀπέρρηκται τῇ συνεχείᾳ·
are-separated nor from-one-another are-broken-off by-the continuity
κἂν δοκεῖ πως τρισὶν ἰδιότησι τέμνεσθαι. ἀλλ᾽ ἔδεισα,
even-if they-seem somehow by-three properties to-be-cut but I-feared
πρῶτον μὲν ῥύσιν τινὰ θεότητος παραδέξασθαι στάσιν
first indeed flowing some of-godhead to-admit standing
οὐκ ἔχουσαν· δεύτερον δὲ μὴ τὸ ἓν τῷ ἀριθμῷ διὰ
not having second and lest the one in-the number through
τῆς εἰκασίας ταύτης εἰσάγηται. ὀφθαλμὸς γάρ, καὶ πηγή,
the comparison this be-introduced eye for and spring
καὶ ποταμὸς ἕν ἐστιν ἀριθμῷ, διαφόρως σχηματιζόμενα.
and river one is in-number differently being-shaped
Πάλιν ἥλιον ἐνεθυμήθην, καὶ ἀκτῖνα, καὶ φῶς. ἀλλὰ 32
again (the)-sun I-considered and ray and light but
κἀνταῦθα δέος, πρῶτον μὲν μὴ σύνθεσίς τις ἐπινοῆται τῆς
here-too (a)-fear first indeed lest composition some be-thought-of of-the
ἀσυνθέτου φύσεως, ὥσπερ ἡλίου καὶ τῶν ἐν ἡλίῳ·
uncompounded nature as of-(the)-sun and of-the(-things) in (the)-sun
δεύτερον δὲ μὴ τὸν πατέρα μὲν οὐσιώσωμεν, τἄλλα
second and lest the father indeed we-make-substantial the-other(-things)
δὲ μὴ ὑποστήσωμεν, ἀλλὰ δυνάμεις θεοῦ ποιήσωμεν
but not we-give-subsistence but powers of-God we-make
ἐνυπαρχούσας, οὐχ ὑφεστώσας, — οὔτε γὰρ ἀκτίς, οὔτε
inherent not subsisting neither for ray nor
φῶς, ἄλλος ἥλιος, ἀλλ᾽ ἡλιακαί τινες ἀπόρροιαι, καὶ
light (is)-another sun but solar some emanations and
ποιότητες οὐσιώδεις, — καὶ ἅμα τὸ εἶναι καὶ τὸ μὴ εἶναι
qualities substantial and at-once the to-be and the not to-be
τῷ θεῷ δῶμεν ἐν τούτοις, ὅσον ἐκ τοῦ ὑποδείγματος,
— to-God we-grant in these as-far-as from the example
ὃ καὶ τῶν εἰρημένων ἀτοπώτερον. ἤκουσα δέ τινος
which even than-the said(-things) more-absurd I-heard and of-someone

καὶ τοιοῦτον ὑπογράφοντος λόγον, — μαρμαρυγήν τινα
also such sketching (an)-account flash some
ἡλιακὴν τοίχῳ προσαστράπτουσαν, καὶ περιτρέμουσαν
solar on-(a)-wall gleaming and quivering
ἐξ ὑδάτων κινήσεως, ἣν ἡ ἀκτὶς ὑπολαβοῦσα διὰ τοῦ
from of-waters motion which the ray having-taken-up through the
ἐν μέσῳ ἀέρος, εἶτα σχεθεῖσα τῷ ἀντιτύπῳ, παλμὸς
in middle air then checked by-the resisting(-body) (a)-vibration
ἐγένετο καὶ παράδοξος. ἄττει γὰρ πολλαῖς καὶ πυκναῖς
became and strange it-darts for with-many and rapid
ταῖς κινήσεσιν, οὐχ ἓν οὖσα μᾶλλον ἢ πολλά, οὐδὲ
the motions not one being rather than many nor
πολλὰ μᾶλλον ἢ ἕν, τῷ τάχει τῆς συνόδου καὶ τῆς
many rather than one by-the swiftness of-the meeting and of-the
διαστάσεως, πρὶν ὄψει κρατηθῆναι, διαδιδράσκουσα.
separation before by-sight to-be-caught escaping
33 Ἀλλ᾽ οὐδὲ τοῦτο θέσθαι δυνατὸν ἐμοί, δι᾽ ἓν μέν, ὅτι
but not-even this to-set-down possible for-me because-of one indeed because
τὴν μὲν τὸ κινῆσαν καὶ πάνυ δῆλον· θεοῦ δὲ οὐδὲν
the(-one) indeed the having-moved (is)-even very clear than-God but nothing
πρεσβύτερον, ἵν᾽ ᾖ τι τὸ τοῦτον κεκινηκός.
older that there-may-be something the him having-moved
αὐτὸς μὲν γὰρ πάντων αἰτία, αἰτίαν δὲ πρεσβυτέραν
he indeed for of-all (is)-cause cause but older
οὐκ ἔχει. δεύτερον δέ, ὅτι κἀνταῦθα τῶν αὐτῶν ὑπόνοια,
not has second and because here-too of-the same (a)-suspicion
συνθέσεως, χύσεως, ἀστάτου καὶ οὐ παγίας φύσεως, ὧν
of-composition of-flowing unstable and not fixed nature of-which
οὐδὲν ἐννοητέον περὶ θεότητος. καὶ ὅλως οὐδὲν ἔστιν ὅ
nothing must-be-thought about godhead and in-short nothing is which
μοι τὴν διάνοιαν ἵστησιν ἐπὶ τῶν ὑποδειγμάτων θεωροῦντι
to-me the mind fixes on the examples contemplating

τὸ φανταζόμενον, πλὴν εἴ τις ἕν τι λαβὼν τῆς
the(-thing) imagined except if someone one something having-taken of-the
εἰκόνος, ὑπ᾽ εὐγνωμοσύνης τὰ λοιπὰ ῥίψειε. τέλος οὖν
image from reasonableness the rest should-cast-away finally then
ἔδοξέ μοι κράτιστον εἶναι τὰς μὲν εἰκόνας χαίρειν ἐᾶσαι
it-seemed to-me best to-be the indeed images to-farewell to-let
καὶ τὰς σκιάς, ὡς ἀπατηλὰς καὶ τῆς ἀληθείας πλεῖστον
and the shadows as deceptive and from-the truth very-far
ἀποδεούσας, αὐτὸν δὲ τῆς εὐσεβεστέρας ἐννοίας ἐχόμενον,
falling-short myself and of-the more-pious conception holding-to
ἐπ᾽ ὀλίγων ῥημάτων ἱστάμενον, ὁδηγῷ τῷ πνεύματι
on few words standing as-guide the spirit
χρώμενον, ἣν ἐντεῦθεν ἔλλαμψιν ἐδεξάμην, ταύτην εἰς τέλος
using which from-here illumination I-received this to (the)-end
διαφυλάσσοντα, ὡς γνησίαν κοινωνὸν καὶ συνόμιλον, τὸν
guarding as genuine partner and companion the
αἰῶνα τοῦτον διαπορεύεσθαι διατέμνοντα, καὶ τοὺς ἄλλους
age this to-pass-through cutting-through(-it) and the others
πείθειν εἰς δύναμιν προσκυνεῖν πατέρα, καὶ υἱόν, καὶ πνεῦμα
to-persuade to (my)-power to-worship father and son and spirit
ἅγιον, τὴν μίαν θεότητά τε καὶ δύναμιν· ὅτι αὐτῷ πᾶσα
holy the one godhead both and power because to-him all
δόξα, τιμή, κράτος, εἰς τοὺς αἰῶνας τῶν αἰώνων· Ἀμήν.
glory honor might unto the ages of-the ages amen

BASIL OF CAESAREA

ΠΕΡΙ ΤΟΥ ΑΓΙΟΥ ΠΝΕΥΜΑΤΟΣ

On the Holy Spirit

Basil praises Amphilochius for inquiring into theology's smallest words. Some object that Basil's doxology used both "with the Son together with the Spirit" and "through the Son in the Spirit"; their syllable-hunting comes from Aetius, who held that things unlike in nature are expressed in unlike terms, to make the Son and the Spirit unlike the Father. Their "of whom," "through whom," and "in whom" are borrowed from pagan philosophy's causes, which Scripture does not keep.

Ἐπήνεσα τὸ φιλομαθές σου καὶ φιλόπονον τοῦ τρόπου, 1
I-praised the love-of-learning your and industry of-the character
καὶ ἥσθην γε ὑπερφυῶς τῷ ἐπιστατικῷ καὶ
and I-was-pleased at-least exceedingly with-the attentive and
νηφαλέῳ τῆς διανοίας, δι᾽ ἣν οὐδεμίαν ἀδιερεύνητον
sober of-the mind because-of which no unexamined
οἴει χρῆναι καταλιμπάνειν φωνὴν τῶν ὅσαι περὶ
you-think (one)-must to-leave expression of-the(-ones) as-many-as about
Θεοῦ κατὰ πᾶσαν χρείαν τοῦ λόγου προφέρονται, ὦ φίλη
God in every use of-the speech are-put-forward O dear
κεφαλὴ καὶ τιμιωτάτη μοι πασῶν, ἀδελφὲ Ἀμφιλόχιε.
head and most-honored to-me of-all brother Amphilochius
καλῶς γὰρ ἀκούσας τῆς παραινέσεως τοῦ Κυρίου, ὅτι
well for having-heard of-the exhortation of-the Lord that
‘Πᾶς ὁ αἰτῶν λαμβάνει καὶ ὁ ζητῶν εὑρίσκει,’
every-one the(-one) asking receives and the(-one) seeking finds
τῇ περὶ τὸ αἰτεῖν ἐμμελείᾳ καὶ τὸν ὀκνηρότατόν μοι
by-the about the to-ask diligence even the most-sluggish to-me
δοκεῖς ἂν διαναστῆσαι πρὸς τὴν μετάδοσιν. ἐκεῖνο δέ σου
you-seem — to-rouse to the imparting that but your
καὶ πλέον ἄγαμαι, ὅτι οὐ πείρας ἕνεκεν κατὰ τοὺς
also more I-admire that not of-testing for-the-sake-of according-to the
πολλοὺς τῶν νῦν τὰς ἐρωτήσεις προτείνῃ, ἀλλὰ τοῦθ᾽
many of-the now the questions you-put-forward but this

ὅπερ ἐστὶν αὐτὸ τὸ ἀληθὲς ἐξευρεῖν. τῶν μὲν γὰρ
which is itself the true to-find-out of-the(-ones) indeed for
ὠτακουστούντων νῦν καὶ διερωτώντων ἡμᾶς εὐθηνία
eavesdropping now and questioning us (there-is)-abundance
πολλή, φιλομαθεῖ δὲ ψυχῇ καὶ πρὸς ἀγνοίας ἴασιν
great for-(a)-learning-loving but soul and for of-ignorance healing
τὴν ἀλήθειαν ἐκζητούσῃ χαλεπώτατον ἐντυχεῖν. ὡς γὰρ
the truth seeking most-difficult to-meet as for
παγὶς θηρατῶν καὶ πολεμούντων ἐνέδρα κεκρυμμένον τὸν
(a)-snare of-hunters and of-warring(-men) (an)-ambush hidden the
δόλον καὶ ἐγκατάσκευον ἔχει τὰ τῶν πολλῶν ἐρωτήματα,
guile and contrived have the of-the many questions
οἳ προβάλλουσι λόγους, οὐχ ἵνα τι χρήσιμον λάβωσιν
who put-forward words not that anything useful they-may-take
ἐξ αὐτῶν, ἀλλ' ὅπως ἐὰν μὴ συμβαινούσας τῇ ἑαυτῶν
from them but that if not agreeing with-the their-own
ἐπιθυμίᾳ τὰς ἀποκρίσεις εὕρωσι, ταύτην ἀφορμὴν ἔχειν
desire the answers they-find this pretext to-have
δικαίαν δόξωσι τοῦ πολέμου.
just they-may-seem of-the war
Εἰ δὲ Τῷ ἀνοήτῳ ἐπερωτήσαντι σοφίαν σοφία
if but to-the foolish(-man) having-asked wisdom wisdom
λογισθήσεται,' τὸν συνετὸν ἀκροατὴν τὸν ὑπὸ τοῦ
will-be-reckoned the understanding hearer the(-one) by the
προφήτου τῷ θαυμαστῷ συμβούλῳ παραζευχθέντα πόσου
prophet to-the wonderful counselor yoked-with of-how-much
ἄξιον λογισόμεθα; ἦ που δίκαιον πάσης μὲν ἀποδοχῆς
worth shall-we-reckon surely somehow just of-all indeed welcome
ἀξιοῦν, προάγειν δὲ εἰς τὸ πρόσω, συνεφαπτομένους
to-deem-worthy to-lead-on and to the forward laying-hold-with
αὐτῷ τῆς σπουδῆς καὶ πάντα συνεκπονοῦντας ἐπειγομένῳ
him of-the zeal and all(-things) toiling-with(-him) hastening

πρὸς τὴν τελείωσιν. τὸ γὰρ μὴ παρέργως ἀκούειν τῶν
toward the completion the for not cursorily to-hear the
θεολογικῶν φωνῶν, ἀλλὰ πειρᾶσθαι τὸν ἐν ἑκάστῃ λέξει
theological expressions but to-try the in each word
καὶ ἐν ἑκάστῃ συλλαβῇ κεκρυμμένον νοῦν ἐξιχνεύειν οὐκ
and in each syllable hidden meaning to-track-out not
ἀργῶν εἰς εὐσέβειαν, ἀλλὰ γνωριζόντων τὸν σκοπὸν
of-idle(-men) toward piety but of-(those)-knowing the aim
τῆς κλήσεως ἡμῶν, ὅτι πρόκειται ἡμῖν ὁμοιωθῆναι Θεῷ
of-the calling our that it-is-set-before us to-be-made-like to-God
κατὰ τὸ δυνατὸν ἀνθρώπου φύσει. ὁμοίωσις δὲ οὐκ
according-to the possible of-man to-nature likeness and not
ἄνευ γνώσεως, ἡ δὲ γνῶσις ἐκ διδαγμάτων, λόγος δὲ
without knowledge the and knowledge from teachings speech and
διδασκαλίας ἀρχή, λόγου δὲ μέρη συλλαβαὶ καὶ λέξεις.
of-teaching (the)-beginning of-speech and parts syllables and words
ὥστε οὐκ ἔξω σκοποῦ γέγονε τῶν συλλαβῶν ἡ ἐξέτασις.
so-that not outside (the)-aim has-become of-the syllables the examination
οὐ μὴν ὅτι μικρά, ὡς ἄν τῳ δόξαι, τὰ ἐρωτήματα,
not however because small as — to-anyone it-might-seem the questions
διὰ τοῦτο καὶ παροφθῆναι ἄξια, ἀλλ' ἐπειδὴ δυσθήρατος
because-of this also to-be-overlooked worthy but since hard-to-hunt
ἡ ἀλήθεια, πανταχόθεν ἡμῖν ἐξιχνευτέα. εἰ γὰρ ὥσπερ
the truth from-every-side by-us must-be-tracked if for as
αἱ τέχναι οὕτω καὶ ἡ τῆς εὐσεβείας ἀνάληψις ταῖς κατὰ
the arts thus also the of-the piety acquisition by-the by
μικρὸν προσθήκαις αὔξεται, οὐδενὸς ὑπεροπτέον τοῖς
little additions grows nothing must-be-despised by-the(-ones)
εἰς τὴν γνῶσιν εἰσαγομένοις· ὡς εἴ τις τῶν πρώτων
into the knowledge being-introduced as if anyone of-the first
στοιχείων ὡς μικρῶν ὑπερίδοι, οὐδέποτε τῶν τελείων
elements as small should-overlook never of-the perfect(-things)

τῆς σοφίας ἐφάψεται. τὸ Ναὶ καὶ τὸ Οὒ συλλαβαὶ δύο,
of-the wisdom he-will-lay-hold-of the yes and the no syllables two
ἀλλ᾽ ὅμως τὸ κράτιστον τῶν ἀγαθῶν, ἡ ἀλήθεια, καὶ
but nevertheless the best of-the goods the truth and
creation you-consider were-established the of-the heavens powers
παρὰ τοῦ Πνεύματος, τῆς στερεώσεως δηλονότι ἐπὶ τὸ
by the Spirit the establishment evidently to the
δυσμετάπτωτον τῆς ἀπὸ τῶν ἀγαθῶν ἕξεως νοουμένης·
hard-to-fall of-the from the good(-things) state being-understood
ἡ γὰρ πρὸς Θεὸν οἰκείωσις καὶ τὸ πρὸς κακίαν ἄτρεπτον
the for toward God kinship and the toward vice unchangeable
καὶ τὸ ἐν μακαριότητι διαρκὲς παρὰ τοῦ Πνεύματος ταῖς
and the in blessedness lasting from the Spirit to-the
δυνάμεσι. Χριστοῦ ἐπιδημία, καὶ τὸ Πνεῦμα προτρέχει.
powers of-Christ (the)-sojourn and the Spirit runs-before
ἔνσαρκος παρουσία, καὶ τὸ Πνεῦμα ἀχώριστον. ἐνεργήματα
incarnate presence and the Spirit (is)-inseparable workings
δυνάμεων, χαρίσματα ἰαμάτων διὰ τοῦ Πνεύματος
of-powers gifts of-healings through the Spirit
τοῦ ἁγίου. δαίμονες ἀπηλαύνοντο ἐν τῷ Πνεύματι τοῦ
the holy demons were-driven-out by the Spirit —
Θεοῦ. διάβολος κατηργεῖτο συμπαρόντος τοῦ Πνεύματος.
of-God (the)-devil was-made-ineffective being-present-with the Spirit
ἁμαρτιῶν ἀπολύτρωσις ἐν τῇ χάριτι τοῦ Πνεύματος,
of-sins (the)-redemption in the grace of-the Spirit

‘ἀπελούσασθε’ γὰρ ‘καὶ ἡγιάσθητε ἐν τῷ ὀνόματι τοῦ
you-were-washed for and you-were-sanctified in the name of-the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι τῷ ἁγίῳ.’
Lord our Jesus Christ and in the Spirit the holy
οἰκείωσις πρὸς Θεὸν διὰ τοῦ Πνεύματος, ‘ἐξαπέστειλε
kinship with God through the Spirit sent-forth
γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ αὐτοῦ ἐν ταῖς
for — God the Spirit of-the Son of-him into the
καρδίαις ἡμῶν, κρᾶζον ἀββᾶ ὁ Πατήρ.’ ἡ ἐκ νεκρῶν
hearts our crying abba the Father the from (the)-dead
ἐξανάστασις τῇ ἐνεργείᾳ τοῦ Πνεύματος, ‘ἐξαποστελεῖς’
resurrection by-the operation of-the Spirit you-will-send-forth
γὰρ ‘τὸ Πνεῦμά σου καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ
for the Spirit of-you and they-will-be-created and you-will-renew the
πρόσωπον τῆς γῆς.’ εἴτε τὴν κτίσιν τις ἐκλαμβάνοι ἐπὶ
face of-the earth whether the creation one should-take for
τῆς τῶν διαλυθέντων ἀναβιώσεως, πῶς οὐ μεγάλη ἡ τοῦ
the of-the dissolved(-ones) return-to-life how not great the of-the
Πνεύματος ἐνέργεια τοῦ οἰκονομοῦντος ἡμῖν τὸν ἐξ
Spirit operation of-the(-one) dispensing for-us the from
ἀναστάσεως βίον καὶ πρὸς τὴν πνευματικὴν ἐκείνην ζωὴν
resurrection life and to the spiritual that life
τὰς ψυχὰς ἡμῶν μεταρυθμίζοντος; εἴτε λέγοιτο κτίσις
the souls our refashioning or be-called creation
ἡ ἐνταῦθα τῶν ἐξ ἁμαρτίας διαπεπτωκότων ἐπὶ τὸ
the here of-those from sin having-fallen to the
βέλτιον μετακόσμησις (λέγεται γὰρ καὶ οὕτω κατὰ τὴν
better reordering it-is-called for also thus according-to the
συνήθειαν τῆς Γραφῆς, ὡς ὅταν Παῦλος λέγῃ· ‘εἴ τις
usage of-the Scripture as when Paul says if anyone
ἐν Χριστῷ καινὴ κτίσις’), καὶ ὁ ἐνταῦθα τοίνυν
(is)-in Christ (he-is-a)-new creation also the here therefore

ἀνακαινισμὸς καὶ ἡ ἀπὸ τῆς γηΐνης καὶ ἐμπαθοῦς ζωῆς
renewal and the from the earthly and passionate life
ἐπὶ τὴν οὐράνιον πολιτείαν μεταβολὴ διὰ τοῦ Πνεύματος
to the heavenly citizenship change through the Spirit
ἡμῖν γινομένη ἐπὶ πᾶσαν ὑπερβολὴν θαύματος τὰς ψυχὰς
for-us coming-about to every excess of-wonder the souls
ἡμῶν ἀνάγει. ἐπὶ τούτοις πότερον φοβηθῶμεν μὴ τὴν
our leads-up in these(-things) whether should-we-fear lest the
ἀξίαν ὑπερβῶμεν ταῖς ὑπερβολαῖς τῶν τιμῶν; ἢ τὸ
worth we-overstep by-the excesses of-the honors or the
ἐναντίον μὴ εἰς ταπεινότητα καταγάγωμεν τὴν περὶ αὐτοῦ
opposite lest to lowliness we-bring-down the about him
ἔννοιαν, κἂν τὰ μέγιστα δόξωμεν ἐπ' αὐτῷ τῶν
conception even-if the greatest(-things) we-seem concerning him of-the(-things)
ἐξ ἀνθρωπίνης διανοίας καὶ γλώττης προφερομένων
from human thought and tongue brought-forth
φθέγγεσθαι; 'τάδε λέγει τὸ Πνεῦμα τὸ ἅγιον,' ὡς
to-utter these(-things) says the Spirit the holy as
τάδε λέγει Κύριος· 'κατάβηθι καὶ πορεύου σὺν αὐτοῖς,
these(-things) says (the)-Lord go-down and go with them
μηδὲν διακρινόμενος, διότι ἐγὼ αὐτοὺς ἀπέσταλκα.' μὴ
nothing doubting because I them have-sent not
ταπεινοῦ ταῦτα καὶ κατεπτηχότος τὰ ῥήματα; 'ἀφορίσατε
of-(a)-lowly these and of-(a)-cowering(-one) the words separate
δή μοι τὸν Βαρνάβαν καὶ τὸν Σαῦλον εἰς τὸ ἔργον,
indeed for-me — Barnabas and — Saul to the work
ὃ προσκέκλημαι αὐτούς.' μὴ δοῦλος οὕτω φθέγγεται;
which I-have-called them not (a)-slave thus speaks
καὶ ὁ Ἡσαΐας· 'Κύριος ἀπέσταλκέ με καὶ τὸ Πνεῦμα
and — Isaiah (the)-Lord has-sent me and the Spirit
αὐτοῦ,' καὶ 'κατέβη Πνεῦμα παρὰ Κυρίου καὶ ὡδήγησεν
of-him and came-down (the)-Spirit from (the)-Lord and guided

αὐτούς.' καὶ μή μοι τὴν ὁδηγίαν πάλιν εἰς ταπεινὴν
them and not to-me the guidance again into lowly
διακονίαν ἐκλάβῃς, τοῦτο γὰρ καὶ Θεοῦ ἔργον εἶναι ὁ
service take this for also of-God (the)-work to-be the
λόγος διαμαρτύρεται. 'ὡδήγησας,' φησίν, 'ὡς πρόβατα τὸν
word testifies you-guided he-says as sheep the
λαόν σου,' καὶ 'ὁ ὁδηγῶν ὡσεὶ πρόβατον τὸν Ἰωσήφ,'
people of-you and the(-one) guiding as (a)-sheep — Joseph
καὶ 'ὡδήγησεν αὐτοὺς ἐπ' ἐλπίδι καὶ οὐκ ἐδειλίασαν.' ὥστε
and he-guided them in hope and not they-were-afraid so-that
ὅταν ἀκούσῃς, ὅτι 'ὅταν ἔλθῃ ὁ Παράκλητος, ἐκεῖνος ὑμᾶς
when you-hear that when comes the Paraclete he you
ἀναμνήσει καὶ ὁδηγήσει πρὸς πᾶσαν τὴν ἀλήθειαν,' τὴν
will-remind and will-guide to all the truth the
ὁδηγίαν ὡς ἐδιδάχθης νόει, μὴ συκοφάντει τὴν ἔννοιαν.
guidance as you-were-taught understand not slander the meaning
Ἀλλὰ καὶ 'ἐντυγχάνει,' φησίν, 'ὑπὲρ ἡμῶν,' ὥστε ὅσον
but also intercedes he-says for us so-that as-much-as
ἱκέτης τοῦ εὐεργέτου λείπεται, τοσοῦτον τὸ Πνεῦμα
(a)-suppliant than-the benefactor falls-short so-much the Spirit
κατὰ τὴν ἀξίαν ἀποπέπτωκε τοῦ Θεοῦ. σὺ δὲ οὔπω ἤκουσας
in the worth has-fallen-short — of-God you but not-yet have-heard
περὶ τοῦ Μονογενοῦς, ὅτι 'ἐστὶν ἐν δεξιᾷ τοῦ Θεοῦ
about the Only-begotten that he-is at (the)-right(-hand) — of-God
καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν;' μὴ οὖν ὅτι τὸ Πνεῦμα ἐν σοί
and intercedes for us not then because the Spirit (is)-in you
(εἴπερ δὴ ὅλως ἐν σοί), μηδ' ὅτι ἀποτυφλωθέντας ἡμᾶς
if-indeed indeed at-all in you nor because blinded us
πρὸς τὴν ἐκλογὴν τοῦ συμφέροντος διδάσκει καὶ ὁδηγεῖ,
to the choice of-the advantageous it-teaches and guides
τούτου ἕνεκεν τὴν εὐσεβῆ καὶ ὁσίαν περὶ αὐτοῦ δόξαν
of-this for-the-sake the pious and holy about him opinion

ζημιωθῇς. ὑπερβολὴ γὰρ ἀγνωμοσύνης τοῦτό γε τὴν
be-deprived-of excess for of-senselessness this at-least the
φιλανθρωπίαν τοῦ εὐεργέτου ἀφορμὴν ἀχαριστίας ποιεῖσθαι.
kindness of-the benefactor (an)-occasion of-ingratitude to-make
‘μὴ οὖν λυπεῖτε τὸ Πνεῦμα τὸ ἅγιον.’ ἀκούσατε τί φησιν
not then grieve the Spirit the holy hear what says
ἡ ἀπαρχὴ τῶν μαρτύρων Στέφανος, τὸ δυσπειθὲς καὶ
the firstfruit of-the martyrs Stephen the disobedience and
ἀνυπότακτον τῷ λαῷ ὀνειδίζων· ‘ὑμεῖς,’ φησίν, ‘ἀεὶ τῷ
insubordination to-the people reproaching you he-says always the
Πνεύματι τῷ ἁγίῳ ἀντιπίπτετε,’ καὶ πάλιν ὁ Ἡσαΐας·
Spirit the holy resist and again — Isaiah
‘παρώξυναν τὸ Πνεῦμα τὸ ἅγιον, καὶ ἐστράφη αὐτοῖς εἰς
they-provoked the Spirit the holy and it-turned to-them into
ἔχθραν,’ καὶ ἑτέρωθι· ‘ὁ οἶκος τοῦ Ἰακὼβ παρώργισε τὸ
enmity and elsewhere the house — of-Jacob provoked the
Πνεῦμα Κυρίου·’ εἰ μὴ ἐξουσιαστικῆς δυνάμεως παραστατικὰ
Spirit of-(the)-Lord if not of-authoritative power indicative
τὰ τοιαῦτα. τῇ τῶν ἐντυγχανόντων κρίσει παρίημι,
the such(-things) to-the of-the readers judgment I-leave-it
ταῦτα ἀκούοντας ὁποίας τινὰς χρὴ τὰς ὑπολήψεις
these(-things) hearing what-sort some (one)-must the conceptions
ἔχειν, ὡς περὶ ὀργάνου καὶ ὑπηκόου καὶ ὁμοτίμου τῇ
to-have as about (an)-instrument and subject and equal-in-honor with-the
κτίσει καὶ ἡμῖν ὁμοδούλου, ἢ βαρύτατον καὶ ῥήματι μόνῳ
creation and with-us fellow-servant or most-grievous even by-word alone
τὴν βλασφημίαν ταύτην ὑποδῦναι τοῖς εὐσεβέσι. δοῦλον
the blasphemy this to-incur for-the pious (a)-slave
λέγεις τὸ Πνεῦμα; ἀλλ’ ‘ὁ δοῦλος,’ φησίν, ‘οὐκ οἶδε τί ποιεῖ
you-call the Spirit but the slave he-says not knows what does

ὁ κύριος αὐτοῦ,' τὸ δὲ Πνεῦμα οὕτως 'οἶδε τὰ τοῦ
the master his the but Spirit thus knows the(-things) —
Θεοῦ, ὡς καὶ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὰ ἐν αὐτῷ.'
of-God as also the spirit of-the man the(-things) in him
20 'Οὔτε δοῦλον,' φησίν, 'οὔτε δεσπότην, ἀλλ' ἐλεύθερον.' ὦ
neither slave he-says nor master but free O
τῆς δεινῆς ἀναλγησίας, ὦ τῆς ἐλεεινῆς ἀφοβίας τῶν
the terrible insensibility O the pitiable fearlessness of-those
ταῦτα λεγόντων! τί πλέον αὐτῶν ὀδύρωμαι, τὸ ἀμαθὲς
these(-things) saying what more of-them should-I-lament the ignorance
ἢ τὸ βλάσφημον; οἵ γε τὰ τῆς Θεολογίας δόγματα
or the blasphemy who at-least the of-the Theology doctrines
ἀνθρωπίνοις παραδείγμασι καθυβρίζουσι, καὶ τὴν ὧδε
with-human examples insult and the here
συνήθειαν παρηλλαγμένην ἔχουσαν τῶν ἀξιωμάτων τὴν
custom varied having of-the dignities the
διαφορὰν τῇ θείᾳ καὶ ἀρρήτῳ φύσει προσαρμόζειν
difference to-the divine and ineffable nature to-fit
ἐπιχειροῦσιν, οὐκ ἐννοοῦντες ὅτι παρὰ μὲν ἀνθρώποις
they-attempt not considering that among indeed men
τῇ φύσει δοῦλος οὐδείς. ἢ γὰρ καταδυναστευθέντες
by-the nature (a)-slave (is)-no-one either for overpowered
ὑπὸ ζυγὸν δουλείας ἤχθησαν ὡς ἐν αἰχμαλωσίαις,
under (the)-yoke of-slavery they-were-brought as in captivities
ἢ διὰ πενίαν κατεδουλώθησαν ὡς οἱ Αἰγύπτιοι τῷ
or because-of poverty they-were-enslaved as the Egyptians —
Φαραώ, ἢ κατά τινα σοφὴν καὶ ἀπόρρητον οἰκονομίαν
to-Pharaoh or according-to some wise and secret dispensation
οἱ χείρους τῶν παίδων ἐκ τῆς τῶν πατέρων φωνῆς τοῖς
the worse of-the children from the of-the fathers voice to-the
φρονιμωτέροις καὶ βελτίοσι δουλεύειν κατεδικάσθησαν, ἣν
more-prudent and better to-serve were-condemned which

οὐδὲ καταδίκην, ἀλλ᾽ εὐεργεσίαν εἴποι τις ἂν δίκαιος
not-even condemnation but benefaction would-say someone — just
τῶν γινομένων ἐξεταστής. τὸν γὰρ δι᾽ ἔνδειαν
of-the(-things) happening examiner the(-one) for because-of lack
τοῦ φρονεῖν οὐκ ἔχοντα ἐν ἑαυτῷ τὸ κατὰ φύσιν ἄρχον,
of-the to-think not having in himself the according-to nature ruling(-part)
τοῦτον ἑτέρου κτῆμα γενέσθαι λυσιτελέστερον, ἵνα τῷ
this(-one) of-another (a)-possession to-become (is)-more-profitable that by-the
τοῦ κρατοῦντος λογισμῷ διευθυνόμενος ὅμοιος ᾖ
of-the(-one) ruling reason being-directed like be-may-be
ἅρματι ἡνίοχον ἀναλαβόντι καὶ πλοίῳ κυβερνήτην ἔχοντι
to-(a)-chariot (a)-charioteer having-taken-up and to-(a)-ship (a)-helmsman having
ἐπὶ οἰάκων καθήμενον. διὰ τοῦτο Ἰακὼβ κύριος τοῦ
at (the)-tillers seated because-of this Jacob (is)-lord —
Ἡσαῦ ἐκ τῆς εὐλογίας τοῦ πατρός, ἵνα καὶ μὴ βουλόμενος
of-Esau from the blessing of-the father that even not wishing
παρὰ τοῦ φρονίμου εὐεργετῆται ὁ ἄφρων, οὐκ ἔχων τὸν
by the prudent may-be-benefited the foolish not having the
οἰκεῖον κηδεμόνα τὸν νοῦν, καὶ Χαναὰν παῖς οἰκέτης
own guardian the mind and Canaan (a)-servant (a)-house-slave
ἔσται τοῖς ἀδελφοῖς, ἐπειδὴ ἀδίδακτος ἦν τῆς ἀρετῆς,
will-be to-the brothers since untaught he-was of-the virtue
ἀσύνετον ἔχων τὸν ἑαυτοῦ πατέρα τὸν Χάμ. ὧδε μὲν οὖν
unintelligent having the his-own father — Ham here indeed then
οὕτως οἱ δοῦλοι, ἐλεύθεροι δὲ οἱ διαφυγόντες πενίαν ἢ
thus the slaves free but those having-escaped poverty or
πόλεμον ἢ τῆς ἑτέρων κηδεμονίας ἀπροσδεεῖς. ὥστε κἂν
war or of-the of-others care not-needing so-that even-if
ὁ μὲν δεσπότης, ὁ δὲ οἰκέτης λέγηται, ἀλλ᾽
the(-one) indeed master the(-other) and servant be-called but
οὖν πάντες καὶ κατὰ τὴν πρὸς ἀλλήλους ὁμοτιμίαν
nevertheless all both according-to the toward one-another equality-of-honor

καὶ ὡς κτήματα τοῦ πεποιηκότος ἡμᾶς ὁμόδουλοι.
and as possessions of-the(-one) having-made us (are)-fellow-servants
ἐκεῖ δὲ τί δύνασαι τῆς δουλείας ὑπεξαγαγεῖν; ὁμοῦ τε
there but what can-you of-the slavery exempt at-once both
γὰρ ἐκτίσθη, καὶ τὸ δοῦλον εἶναι συγκατεσκεύασται.
for it-was-created and the slave to-be has-been-co-constituted
ἀλλήλων μὲν γὰρ οὐ κατάρχουσιν, ἐπειδὴ πλεονεξίας
one-another indeed for not they-rule since of-greed
ἄμοιρα τὰ οὐράνια, Θεῷ δὲ πάντα ὑποκύπτει, καὶ ὡς
without-share the heavenly(-things) to-God but all(-things) bow-down and as
Δεσπότῃ τὸν ὀφειλόμενον φόβον καὶ ὡς Δημιουργῷ τὴν
to-Master the owed fear and as to-Creator the
ἐπιβάλλουσαν δόξαν ἀποδιδόντα. ‘υἱὸς γὰρ δοξάζει πατέρα,
befitting glory rendering (a)-son for glorifies (a)-father
καὶ δοῦλος τὸν κύριον αὐτοῦ.’ καὶ ἀπαιτεῖ πάντως τῶν
and (a)-slave the lord his and demands certainly of-the
δύο τὸ ἕτερον ὁ Θεός, ‘εἰ γὰρ Πατήρ εἰμι ἐγώ, ποῦ ἐστι,
two the one — God if for Father am I where is
φησίν, ἡ δόξα μου; καὶ εἰ Κύριός εἰμι ἐγώ, ποῦ ἐστιν ὁ
he-says the glory my and if Lord am I where is the
φόβος μου;’ ἢ πάντων ἂν εἴη ἐλεεινοτάτη ζωὴ μὴ ὑπὸ
fear my or of-all — would-be most-pitiable (a)-life not under
τὴν ἐπισκοπὴν τοῦ Δεσπότου κειμένη· ὁποῖαί εἰσιν αἱ
the oversight of-the Master lying of-which-sort are the
ἀποστατικαὶ δυνάμεις αἱ διὰ τὸ τραχηλιάσαι κατὰ
apostate powers the(-ones) because-of the to-stiffen-the-neck against
Θεοῦ Παντοκράτορος ἀφηνιάζουσαι τῆς δουλείας, οὐ τῷ
God Almighty breaking-loose from-the slavery not by-the
ἑτέρως πεφυκέναι, ἀλλὰ τῷ ἀνυποτάκτως ἔχειν πρὸς τὸν
otherwise to-be-by-nature but by-the insubordinately to-be toward the
Ποιήσαντα. τίνα οὖν λέγεις ἐλεύθερον; τὸν ἀβασίλευτον;
Maker whom then do-you-call free the kingless

τὸν μήτε ἄρχειν ἑτέρου δύναμιν ἔχοντα μήτε ἄρχεσθαι
the(-one) neither to-rule another power having nor to-be-ruled
καταδεχόμενον; ἀλλ᾽ οὔτε ἔστι τις τοιαύτη φύσις ἐν τοῖς
accepting but neither is any such nature among the
οὖσι, καὶ τοῦτο ἐννοῆσαι κατὰ τοῦ Πνεύματος ἀσέβεια
beings and this to-think against the Spirit (is)-impiety
περιφανής. ὥστε εἰ μὲν ἔκτισται, δουλεύει δηλαδὴ
manifest so-that if indeed it-has-been-created it-serves evidently
μετὰ πάντων, ‘τὰ γὰρ σύμπαντα,’ φησί, ‘δοῦλα σά,’ εἰ
with all the for universe he-says (are)-slaves yours if
δὲ ὑπὲρ τὴν κτίσιν ἐστί, τῆς βασιλείας ἐστὶ κοινωνόν.
but above the creation it-is of-the kingship it-is (a)-partner
Καὶ τί δεῖ ἐκ τῶν ταπεινῶν ἀπομαχομένους αἰσχρῶς τὴν 21
and why must from the lowly(-things) fighting shamefully the
νίκην κατακτᾶσθαι τῷ λόγῳ, ἐξὸν τῇ παραθέσει
victory to-win in-the argument it-being-possible by-the setting-beside
τῶν σεμνοτέρων ἀναντίρρητον τὴν ὑπερβολὴν τῆς δόξης
of-the more-august(-things) incontrovertible the excess of-the glory
ἐπιδεικνύναι; εἰ δὲ λέγοιμεν ἃ παρὰ τῆς Γραφῆς
to-show if but we-should-say what from the Scripture
ἐδιδάχθημεν, τάχα που μέγα καὶ σφοδρὸν ἀνακράξονται,
we-were-taught perhaps somehow great and loud they-will-cry-out
καὶ συσχόντες τὰ ὦτα ἀράμενοι λίθους, ἢ ὅ τι ἂν τύχοι
and having-stopped the ears having-taken-up stones or what — — chance
παραφανὲν τοῦτο τῶν Πνευματομάχων ἕκαστος ὅπλον
appearing this of-the Spirit-fighters each (a)-weapon
ποιησάμενος, ἐφ᾽ ἡμᾶς ἥξουσιν. οὐ μὴν πρό γε
having-made against us they-will-come not however before at-least
τῆς ἀληθείας τιμητέα ἡμῖν ἡ ἀσφάλεια. εὕρομεν τοίνυν
the truth to-be-honored by-us the safety we-found therefore
παρὰ τῷ Ἀποστόλῳ· ‘ὁ δὲ Κύριος κατευθύναι ὑμῶν τὰς
in the Apostle the and Lord may-direct your the

καρδίας εἰς τὴν ἀγάπην τοῦ Θεοῦ καὶ εἰς τὴν ὑπομονὴν
hearts into the love — of-God and into the patience
τοῦ Χριστοῦ ὑπὲρ τῶν θλίψεων. τίς ὁ κατευθύνων
— of-Christ on-behalf-of the afflictions who (is)-the directing
Κύριος εἰς τὴν τοῦ Θεοῦ ἀγάπην καὶ εἰς τὴν ὑπὲρ τῶν
Lord into the — of-God love and into the on-behalf-of the
θλίψεων τοῦ Χριστοῦ ὑπομονήν; ἀποκρινάσθωσαν ἡμῖν
afflictions — of-Christ patience let-them-answer us
οἱ τὸ Πνεῦμα καταδουλούμενοι. εἴτε γὰρ περὶ τοῦ Θεοῦ
those the Spirit enslaving if for about — God
καὶ Πατρὸς ὁ λόγος, πάντως ἂν εἴρητο· ὁ δὲ
and Father the word certainly — it-would-have-been-said the and
Κύριος ὑμᾶς κατευθύναι εἰς τὴν ἑαυτοῦ ἀγάπην, εἴτε περὶ
Lord you direct into the his-own love if about
τοῦ Υἱοῦ, προσέκειτο ἄν· εἰς τὴν ἑαυτοῦ ὑπομονήν.
the Son there-would-have-been-added — into the his-own patience
ζητείτωσαν οὖν τί ἐστιν ἄλλο Πρόσωπον, ὃ τῇ
let-them-seek then what is other Person which by-the
προσηγορίᾳ τοῦ Κυρίου τιμᾶσθαι ἄξιον. παραπλήσιον δὲ
title of-the Lord to-be-honored (is)-worthy like and
τούτῳ καὶ τὸ ἑτέρωθι κείμενον, τὸ ‘ὑμᾶς δὲ ὁ Κύριος
to-this also the elsewhere lying the you and the Lord
πλεονάσαι καὶ περισσεύσαι ἐν ἀγάπῃ εἰς ἀλλήλους καὶ
make-increase and abound in love toward one-another and
εἰς πάντας, καθάπερ καὶ ἡμεῖς εἰς ὑμᾶς, εἰς τὸ στηρίξαι
toward all as also we toward you for the to-establish
ὑμῶν τὰς καρδίας ἀμέμπτους ἐν ἁγιασμῷ ἔμπροσθεν τοῦ
your the hearts blameless in sanctification before —
Θεοῦ καὶ Πατρὸς ἡμῶν ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν
God and Father our at the coming of-the Lord our
Ἰησοῦ Χριστοῦ μετὰ πάντων τῶν ἁγίων αὐτοῦ.’ ποῖον
Jesus Christ with all the saints of-him what

Κύριον εὔχεται ἔμπροσθεν τοῦ Θεοῦ καὶ Πατρὸς ἡμῶν
Lord does-be-pray before — God and Father our
ἐν τῇ παρουσίᾳ τοῦ Κυρίου ἡμῶν ἀμέμπτους τὰς καρδίας
at the coming of-the Lord our blameless the hearts
ἐστηριγμένας ἐν ἁγιωσύνῃ τῶν ἐν Θεσσαλονίκῃ πιστῶν
established in holiness of-the in Thessalonica faithful
στηρίξαι; ἀποκρινάσθωσαν ἡμῖν οἱ μετὰ τῶν λειτουργικῶν
to-establish let-them-answer us those with the ministering
πνευμάτων τῶν πρὸς διακονίαν ἀποστελλομένων τὸ
spirits the(-ones) for service sent the
ἅγιον Πνεῦμα τιθέντες. ἀλλ᾽ οὐκ ἔχουσι. διόπερ ἀκουέτωσαν
holy Spirit setting but not they-can wherefore let-them-hear
καὶ ἑτέρας μαρτυρίας διαρρήδην καὶ αὐτῆς κυριολογούσης
also another testimony expressly and it calling-(him)-Lord
τὸ Πνεῦμα. ‘ὁ δὲ Κύριος,’ φησί, ‘τὸ Πνεῦμά ἐστι,’ καὶ
the Spirit the but Lord he-says the Spirit is and
πάλιν· ‘καθάπερ ἀπὸ Κυρίου Πνεύματος.’ ὥστε δὲ μηδεμίαν
again as from (the)-Lord (the)-Spirit so-that and no
ἀντιλογίας ἀφορμὴν καταλιπεῖν, αὐτὴν παραθήσομαι τοῦ
of-contradiction occasion to-leave itself I-will-set-beside of-the
Ἀποστόλου τὴν λέξιν· ‘ἄχρι γὰρ τῆς σήμερον τὸ αὐτὸ
Apostle the wording until for the today the same
κάλυμμα ἐπὶ τῇ ἀναγνώσει τῆς Παλαιᾶς Διαθήκης μένει,
veil at the reading of-the Old Covenant remains
μὴ ἀνακαλυπτόμενον ὅτι ἐν Χριστῷ καταργεῖται. ὅταν
not being-unveiled because in Christ it-is-done-away whenever
δὲ ἐπιστρέψῃ πρὸς Κύριον, περιαιρεῖται τὸ κάλυμμα. ὁ δὲ
but it-turns to (the)-Lord is-taken-away the veil the and
Κύριος τὸ Πνεῦμά ἐστι.’ τί τοῦτο λέγων; ὅτι ὁ ψιλῇ
Lord the Spirit is what this saying that the(-one) bare
τῇ διανοίᾳ τοῦ γράμματος προσκαθήμενος καὶ αὐτοῦ
to-the sense of-the letter sitting-beside and there

που περὶ τὰ νομικὰ παρατηρήματα διατρίβων οἱόν τινι
somehow about the legal observances spending-time as by-some
παραπετάσματι τῇ Ἰουδαϊκῇ τοῦ γράμματος ἐκδοχῇ
veil by-the Jewish of-the letter interpretation
τὴν καρδίαν ἑαυτοῦ συγκεκάλυπται, καὶ τοῦτο πάσχει
the heart his-own has-veiled and this he-suffers
παρὰ τὸ ἀγνοεῖν ὅτι ἡ σωματικὴ τοῦ νόμου τήρησις
because-of the to-be-ignorant that the bodily of-the law observance
ἐν τῇ ἐπιδημίᾳ τοῦ Χριστοῦ καταργεῖται, τῶν τύπων
at the sojourn — of-Christ is-done-away the types
λοιπὸν μεταληφθέντων εἰς τὴν ἀλήθειαν. ἀργοῦσι γὰρ
henceforth having-been-changed into the truth are-idle for
λύχνοι τῇ τοῦ ἡλίου παρουσίᾳ, καὶ σχολάζει ὁ νόμος
lamps at-the of-the sun presence and rests the law
καὶ προφητεῖαι κατασιγάζονται τῆς ἀληθείας ἀναφανείσης.
and prophecies are-silenced the truth having-appeared
ὁ μέντοι δυνηθεὶς ἐπὶ τὸ βάθος διακύψαι τῆς
the(-one) however having-been-able into the depth to-peer of-the
νομικῆς ἐννοίας καὶ τὴν ἐκ τοῦ γράμματος ἀσάφειαν οἱόν
legal meaning and the from the letter obscurity as
τι καταπέτασμα διασχὼν εἴσω γενέσθαι τῶν ἀπορρήτων,
some curtain having-parted inside to-come of-the secret(-things)
οὗτος ἐμιμήσατο τὸν Μωϋσῆν ἐν τῷ διαλέγεσθαι τῷ
this(-one) imitated — Moses in the to-converse —
Θεῷ περιαιροῦντα τὸ κάλυμμα, ἐπιστρέφων καὶ αὐτὸς
with-God taking-away the veil turning also himself
ἀπὸ τοῦ γράμματος πρὸς τὸ πνεῦμα, ὥστε ἀναλογεῖν
from the letter to the spirit so-that to-correspond
τῷ μὲν ἐπὶ τοῦ προσώπου Μωϋσέως καλύμματι τὴν
to-the indeed upon the face of-Moses veil the
τῶν νομικῶν διδαγμάτων ἀσάφειαν, τῇ δὲ ἐπιστροφῇ
of-the legal teachings obscurity to-the and turning

τῇ πρὸς τὸν Κύριον τὴν πνευματικὴν θεωρίαν. ὁ
the toward the Lord the spiritual contemplation the(-one)
οὖν ἐν τῇ ἀναγνώσει τοῦ νόμου περιελὼν τὸ γράμμα
then in the reading of-the law having-removed the letter
ἐπιστρέφει πρὸς τὸν Κύριον (ὁ δὲ Κύριος νῦν τὸ Πνεῦμα
turns to the Lord the and Lord now the Spirit
λέγεται), καὶ ὅμοιος γίνεται Μωϋσεῖ ἐκ τῆς ἐπιφανείας
is-called and like becomes to-Moses from the manifestation
τοῦ Θεοῦ τὸ πρόσωπον δεδοξασμένον ἔχοντι. ὡς γὰρ
— of-God the face glorified having as for
τὰ τοῖς ἀνθηροῖς χρώμασι παρακείμενα ἐκ τῆς
the(-things) to-the bright colors lying-near from the
περιρρεούσης αὐγῆς καὶ αὐτὰ καταχρώννυται, οὕτως
flowing-around radiance also themselves are-colored thus
ὁ ἐναργῶς ἐνατενίσας τῷ Πνεύματι ἐκ τῆς ἐκείνου
the(-one) clearly having-gazed on-the Spirit from the of-it
δόξης μεταμορφοῦταί πως πρὸς τὸ φανότερον, οἷόν
glory is-transfigured somehow to the brighter as
τινι φωτὶ τῇ ἐκ τοῦ Πνεύματος ἀληθείᾳ τὴν καρδίαν
by-some light by-the from the Spirit truth the heart
καταλαμπόμενος. καὶ τοῦτό ἐστι τὸ μεταμορφοῦσθαι ἀπὸ
being-illumined and this is the to-be-transfigured from
τῆς δόξης τοῦ Πνεύματος εἰς τὴν οἰκείαν δόξαν, οὐ
the glory of-the Spirit into the own glory not
μικρολόγως οὐδὲ ἀμυδρῶς, ἀλλ' ἐπὶ τοσοῦτον, ἐφ' ὅσον
meagerly nor dimly but to so-much to as-much
ἐστὶν εἰκὸς τὸν ἀπὸ τοῦ Πνεύματος φωτιζόμενον. οὐ
is likely the(-one) by the Spirit being-enlightened not
δυσωπῇ, ἄνθρωπε, τὸν Ἀπόστολον λέγοντα, ὅτι 'ναὸς
are-you-ashamed O-man the Apostle saying that (a)-temple
Θεοῦ ἐστε, καὶ τὸ Πνεῦμα τοῦ Θεοῦ οἰκεῖ ἐν ὑμῖν;' ἆρα
of-God you-are and the Spirit — of-God dwells in you is-it

τὸ δουλικὸν οἰκητήριον κατεδέξατο ἄν ποτε τῇ
the servile dwelling would-be-have-deigned — ever with-the
τοῦ ναοῦ προσηγορίᾳ τιμῆσαι; τί δὲ ὁ θεόπνευστον
of-the temple title to-honor what and the(-one) God-inspired
τὴν Γραφὴν ὀνομάζων διὰ τῆς ἐπιπνοίας τοῦ ἁγίου
the Scripture naming through the inspiration of-the holy
Πνεύματος συγγραφεῖσαν μὴ τοῖς τοῦ καθυβρίζοντος
Spirit composed not the of-the(-one) insulting
καὶ κατασμικρύνοντος αὐτὸ προσρήμασι κέχρηται;
and belittling it appellations has-he-used

X · BEYOND THE WORLD

Like Father and Son, the Spirit is beyond the world's sight and everywhere at once, as no angel is. To glorify him is to tell his wonders. Glory is given to man, to Israel, to the sun; how deny it to the Spirit, giver of life and freedom, whom the Lord ranked with Father and Son? As God's gift he is no lower than the Son, also given.

22 Οὐ μόνον δὲ ἐξ ὧν τὰς αὐτὰς προσηγορίας ἔχει
not only and from what the same titles it-has
καὶ κοινωνόν ἐστι τῶν ἐνεργειῶν Πατρὶ καὶ Υἱῷ, τὸ
and partner is of-the operations with-Father and Son the
ὑπερέχον αὐτοῦ τῆς φύσεως γνώριμον, ἀλλὰ καὶ ἐξ
transcendence its of-the nature (is)-known but also from
ὧν ὁμοίως ἐστὶ πρὸς θεωρίαν δυσέφικτον. ἃ γὰρ
what likewise it-is to contemplation hard-to-reach what for
περὶ τοῦ Πατρός φησιν ὡς ἐπέκεινα ὄντος ἀνθρωπίνης
about the Father he-says as beyond being human
ἐννοίας, καὶ ἃ περὶ τοῦ Υἱοῦ, ταὐτὰ ὁ Κύριος
conception and what about the Son the-same(-things) the Lord
καὶ περὶ τοῦ ἁγίου Πνεύματος λέγει· Πάτερ δίκαιε, καὶ
also about the holy Spirit says Father righteous and

ὁ κόσμος σε οὐκ ἔγνω,' τὸν κόσμον λέγων νῦν οὐχὶ
the world you not knew the world meaning now not
τὸ ἐξ οὐρανοῦ καὶ γῆς σύστημα, ἀλλὰ τὴν ἐπίκηρον
the from heaven and earth system but the perishable
ταύτην καὶ μυρίαις μεταβολαῖς ὑποκειμένην ζωήν. καὶ
this and to-countless changes subject life and
περὶ ἑαυτοῦ διαλεγόμενος, 'ἔτι μικρόν,' φησί, 'καὶ ὁ
about himself discoursing yet a-little he-says and the
κόσμος με οὐκέτι θεωρεῖ, ὑμεῖς δὲ θεωρεῖτέ με,' πάλιν
world me no-longer beholds you but behold me again
ἐνταῦθα τοὺς τῇ ὑλικῇ καὶ σαρκικῇ προσδεδεμένους ζωῇ
here those to-the material and carnal bound life
καὶ μόνοις ὀφθαλμοῖς τὴν ἀλήθειαν ἐπιτρέποντας κόσμον
and to-eyes alone the truth entrusting world
προσαγορεύων, οἳ τῇ ἀπιστίᾳ τῆς ἀναστάσεως οὐκέτι
calling who by-the unbelief of-the resurrection no-longer
ἔμελλον τοῖς ὀφθαλμοῖς τῆς καρδίας τὸν Κύριον ἡμῶν
were-going with-the eyes of-the heart the Lord our
ὄψεσθαι. τὰ δὲ αὐτὰ καὶ περὶ τοῦ Πνεύματος εἶπε. 'τὸ
to-see the but same(-things) also about the Spirit he-said the
Πνεῦμα,' φησί, 'τῆς ἀληθείας, ὃ ὁ κόσμος οὐ δύναται
Spirit he-says of-the truth which the world not can
λαβεῖν, ὅτι οὐ θεωρεῖ αὐτὸ οὐδὲ γινώσκει αὐτό· ὑμεῖς
to-receive because not it-beholds it nor knows it you
δὲ γινώσκετε αὐτό, ὅτι παρ' ὑμῖν μένει.' ὁ μὲν γὰρ
but know it because with you it-abides the indeed for
σάρκινος ἄνθρωπος ἀγύμναστον ἔχων πρὸς θεωρίαν τὸν
carnal man untrained having for contemplation the
νοῦν, μᾶλλον δὲ ὅλον ὥσπερ ἐν βορβόρῳ τῷ φρονήματι
mind rather but whole as in mire the mind
τῆς σαρκὸς κατορωρυγμένον φέρων, ἀδυνατεῖ πρὸς τὸ
of-the flesh buried bearing is-unable toward the

πνευματικὸν φῶς τῆς ἀληθείας ἀναβλέψαι. διὸ ὁ
spiritual light of-the truth to-look-up wherefore the
κόσμος, τουτέστιν ἡ τοῖς πάθεσι τῆς σαρκὸς δεδουλωμένη
world that-is the by-the passions of-the flesh enslaved
ζωή, οἷον ὀφθαλμὸς ἀσθενὴς φῶς ἡλιακῆς ἀκτῖνος,
life as (an)-eye weak (the)-light of-(the)-solar ray
τὴν τοῦ Πνεύματος χάριν οὐχ ὑποδέχεται. τοῖς μέντοι
the of-the Spirit grace not receives to-the however
μαθηταῖς ἑαυτοῦ καθαρότητα ζωῆς ἐκ τῶν διδαγμάτων
disciples his-own purity of-life from the teachings
αὐτοῦ μαρτυρήσας ὁ Κύριος τὸ καὶ ἐποπτικοῖς ἤδη
his having-attested the Lord the also beholding already
εἶναι καὶ θεωρητικοῖς τοῦ Πνεύματος ἀποδίδωσιν. ‘ἤδη
to-be and contemplative of-the Spirit he-grants already
γάρ,’ φησίν, ‘ὑμεῖς καθαροί ἐστε διὰ τὸν λόγον, ὃν
for he-says you clean are because-of the word which
λελάληκα ὑμῖν.’ ὅθεν ‘ὁ μὲν κόσμος οὐ δύναται λαβεῖν, οὐ
I-have-spoken to-you whence the indeed world not can to-receive not
γὰρ θεωρεῖ αὐτό· ὑμεῖς δὲ γινώσκετε αὐτό, ὅτι παρ’ ὑμῖν
for it-beholds it you but know it because with you
μένει.’ ταὐτὰ λέγει καὶ Ἡσαΐας· ‘ὁ στερεώσας
it-abides the-same(-things) says also Isaiah the(-one) having-established
τὴν γῆν καὶ τὰ ἐν αὐτῇ, καὶ δοὺς πνοὴν τῷ λαῷ
the earth and the(-things) in it and having-given breath to-the people
τῷ ἐπ’ αὐτῆς καὶ Πνεῦμα τοῖς πατοῦσιν αὐτήν.’ οἱ γὰρ
the upon it and Spirit to-those treading it those for
καταπατοῦντες τὰ γήϊνα καὶ ὑπεράνω αὐτῶν γενόμενοι
trampling the earthly(-things) and above them having-become
ἄξιοι τῆς δωρεᾶς τοῦ ἁγίου Πνεύματος μεμαρτύρηνται. τὸ
worthy of-the gift of-the holy Spirit have-been-attested the
οὖν ἀχώρητον μὲν τῷ κόσμῳ, τοῖς ἁγίοις δὲ μόνοις διὰ
then uncontainable indeed by-the world to-the saints but alone because-of

καθαρότητα τῆς καρδίας θεωρητόν, τί χρὴ νομίζεσθαι
purity of-the heart visible what must be-thought
ἢ τὰς ποταπὰς τιμὰς συμμέτρους ὑπάρχειν αὐτῷ; τῶν
or the what-sort honors befitting to-be to-it of-the
μὲν οὖν ἄλλων ἑκάστη δυνάμεων ἐν περιγραπτῷ τόπῳ
indeed then other each of-powers in (a)-circumscribed place
τυγχάνειν πεπίστευται, ὁ γὰρ τῷ Κορνηλίῳ ἐπιστὰς
to-be is-believed the for — to-Cornelius having-stood-by
ἄγγελος οὐκ ἦν ἐν ταὐτῷ καὶ παρὰ τῷ Φιλίππῳ, οὐδὲ
angel not was in the-same(-place) also with — Philip nor
ὁ ἀπὸ τοῦ θυσιαστηρίου τῷ Ζαχαρίᾳ διαλεγόμενος
the(-one) from the altar — to-Zechariah conversing
κατὰ τὸν αὐτὸν καιρὸν καὶ ἐν οὐρανῷ τὴν οἰκείαν στάσιν
at the same time also in heaven the own station
ἐπλήρου· τὸ μέντοι Πνεῦμα ὁμοῦ τε ἐν Ἀββακοὺμ ἐνεργεῖν
filled the however Spirit at-once both in Habakkuk to-work
καὶ ἐν Δανιὴλ ἐπὶ τῆς Βαβυλωνίας πεπίστευται, καὶ ἐν
and in Daniel at the Babylonia is-believed and in
τῷ καταρράκτῃ εἶναι μετὰ Ἱερεμίου καὶ μετὰ Ἰεζεκιὴλ
the dungeon to-be with Jeremiah and with Ezekiel
ἐπὶ τοῦ Χοβάρ. ‘Πνεῦμα γὰρ Κυρίου πεπλήρωκε τὴν
at the Chebar (the)-Spirit for of-(the)-Lord has-filled the
οἰκουμένην.’ καὶ ‘ποῦ πορευθῶ ἀπὸ τοῦ Πνεύματός σου,
world and where shall-I-go from the Spirit of-you
καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω;’ καὶ ὁ προφήτης·
and from the face of-you where shall-I-flee and the prophet
‘διότι ἐγὼ μεθ’ ὑμῶν εἰμι, λέγει Κύριος, καὶ τὸ Πνεῦμά
because I with you am says (the)-Lord and the Spirit
μου ἐφέστηκεν ἐν μέσῳ ὑμῶν.’ τὸ δὲ πανταχοῦ ὂν καὶ
of-me stands in (the)-midst of-you the but everywhere being and
Θεῷ συμπαρὸν τῆς ποίας προσήκει νομίζειν φύσεως;
with-God present of-the what-sort is-it-fitting to-think nature

τῆς πάντα περιεχούσης, ἢ τῆς μερικοῖς ἐμπεριειλημμένης
of-the all(-things) encompassing or of-the in-partial included
χωρίοις, ὁποίαν τὴν τῶν ἀγγέλων ὁ λόγος ἔδειξεν; ἀλλ᾽
places such-as the of-the angels the argument showed but
οὐκ ἄν τις εἴποι. τὸ οὖν Θεῖον τῇ φύσει, τὸ ἀχώρητον
not — anyone would-say the then Divine in-the nature the uncontainable
τῷ μεγέθει, τὸ δυνατὸν ἐν ταῖς ἐνεργείαις, τὸ ἀγαθὸν
in-the greatness the powerful in the operations the good
ἐν ταῖς εὐεργεσίαις μὴ ὑπερυψώσομεν; μὴ δοξάσομεν;
in the benefactions not shall-we-exalt not shall-we-glorify
23 Ἐγὼ δὲ οὐδὲ ἄλλο τι τὴν δόξαν τίθεμαι ἢ
I but not-even other anything the glory I-reckon than
τῶν πρόσοντων αὐτῷ θαυμάτων τὴν ἐξαρίθμησιν. ὥστε
of-the belonging to-it wonders the enumeration so-that
ἢ οὐδὲ μεμνῆσθαι ἡμᾶς τῶν παρ᾽ αὐτοῦ ἀγαθῶν
either not-even to-remember us of-the from it good(-things)
ἐπιτάξουσιν οὗτοι, ἢ πάντως ἡ τῶν προσόντων διέξοδος
will-command these(-men) or certainly the of-the belonging(-things) recital
τῆς μείζονος δοξολογίας ἐστὶ πλήρωσις. οὐδὲ γὰρ τὸν
of-the greatest doxology is (the)-fulfillment not-even for —
Θεὸν καὶ Πατέρα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ
God and Father of-the Lord our Jesus Christ and
τὸν Μονογενῆ αὐτοῦ Υἱὸν ἄλλως δοξάζειν ἔχομεν ἢ τῷ
the Only-begotten his Son otherwise to-glorify we-can than by-the
κατὰ τὴν ἡμετέραν δύναμιν διεξιέναι αὐτοῦ τὰ θαύματα.
according-to the our power to-go-through his the wonders
24 Εἶτα δόξῃ μὲν καὶ τιμῇ ἐστεφάνωται ὁ κοινὸς ἄνθρωπος,
then with-glory indeed and honor is-crowned the common man
καὶ ‘δόξα καὶ τιμὴ καὶ εἰρήνη παντὶ τῷ ποιοῦντι τὸ
and glory and honor and peace to-every(-one) the doing the
ἀγαθὸν ἐν ἐπαγγελίαις ἀπόκειται·’ ἔστι δέ τις καὶ ἰδίως
good in promises is-laid-up is and some also peculiarly

τοῦ Ἰσραὴλ δόξα, ‘ὧν ἡ υἱοθεσία,’ φησί, ‘καὶ ἡ δόξα καὶ ἡ
— of-Israel glory whose the adoption he-says and the glory and the
λατρεία,’ καὶ ἑαυτοῦ τινα δόξαν ὁ ψαλμῳδὸς λέγει· ‘ὅταν
service and his-own some glory the psalmist speaks-of when
ψάλῃ σοι ἡ δόξα μου,’ καὶ πάλιν· ‘ἐξεγέρθητι ἡ δόξα
it-sings to-you the glory my and again awake the glory
μου·’ ἔστι δέ τις δόξα ἡλίου καὶ σελήνης καὶ ἀστέρων,
my is and some glory of-sun and of-moon and of-stars
κατὰ τὸν Ἀπόστολον· καὶ ‘ἡ διακονία τῆς κατακρίσεως
according-to the Apostle and the ministry of-the condemnation
διὰ δόξης.’ τοσούτων οὖν δοξαζομένων τὸ Πνεῦμα
(is)-through glory so-many then being-glorified the Spirit
μόνον τῶν πάντων ἀδόξαστον εἶναι βούλει; καίτοιγε ‘ἡ
alone of-the all unglorified to-be do-you-wish and-yet the
διακονία,’ φησίν, ‘τοῦ Πνεύματος ἔστιν ἐν δόξῃ.’ πῶς οὖν
ministry he-says of-the Spirit is in glory how then
αὐτὸ ἀνάξιον τοῦ δοξάζεσθαι; καὶ μεγάλη μὲν ἡ δόξα τοῦ
(is)-it unworthy of-the to-be-glorified and great indeed the glory of-the
δικαίου κατὰ τὸν ψαλμῳδόν, δόξα δὲ τοῦ Πνεύματος
righteous according-to the psalmist glory but of-the Spirit
κατὰ σὲ οὐδεμία. πῶς οὖν οὐ πρόδηλος ὁ κίνδυνος ἐκ
according-to you none how then not manifest the danger from
τῶν τοιούτων λόγων τὴν ἄφυκτον ἁμαρτίαν ἐφ’ ἑαυτοὺς
the such words the inescapable sin upon themselves
ἐπισπᾶσθαι; εἰ ὁ σωζόμενος ἐκ τῶν τῆς δικαιοσύνης
to-draw if the being-saved from the of-the righteousness
ἔργων ἄνθρωπος καὶ τοὺς φοβουμένους τὸν κύριον δοξάζει,
works man also those fearing the lord glorifies
τοσούτου ἂν δέοι τὸ Πνεῦμα τῆς ὀφειλομένης δόξης
so-much — it-would-be-far the Spirit of-the owed glory
ἀποστερεῖν. ‘ἔστω,’ φασί, ‘δοξαστόν, ἀλλ’ οὐχὶ μετὰ Πατρὸς
to-deprive let-it-be they-say glorifiable but not with Father

καὶ Υἱοῦ.᾽ καὶ τίνα ἔχει λόγον ἑτέραν χώραν ἐπινοεῖν τῷ
and Son and what has reason another place to-devise for-the
Πνεύματι τὴν παρὰ τοῦ Κυρίου τεταγμένην καταλιπόντας,
Spirit the by the Lord appointed having-abandoned
καὶ τῆς κατὰ τὴν δόξαν κοινωνίας ἀποστερεῖν τὸ
and of-the in the glory fellowship to-deprive the
πανταχοῦ συναναληφθὲν τῇ Θεότητι, ἐν τῇ ὁμολογίᾳ τῆς
everywhere taken-up-with the Godhead in the confession of-the
πίστεως, ἐν τῷ βαπτίσματι τῆς ἀπολυτρώσεως, ἐν τῇ
faith in the baptism of-the redemption in the
ἐνεργείᾳ τῶν δυνάμεων, ἐν τῇ ἐνοικήσει τῶν ἁγίων, ἐν
operation of-the powers in the indwelling of-the saints in
ταῖς εἰς τὸ ὑπήκοον χάρισιν; οὐδὲ γάρ ἐστιν ὅλως
the for the obedient graces not-even for is at-all
δωρεά τις ἄνευ τοῦ ἁγίου Πνεύματος εἰς τὴν κτίσιν
gift some without the holy Spirit to the creation
ἀφικνουμένη· ὅπου γε οὐδὲ ῥῆμα ψιλὸν ἐν ταῖς ὑπὲρ
arriving where at-least not-even word bare in the for
Χριστοῦ ἀπολογίαις δυνατὸν λαλῆσαι μὴ συνεργουμένους
Christ defenses (is)-possible to-speak not being-assisted
παρὰ τοῦ Πνεύματος, ὡς ἐν εὐαγγελίοις παρὰ τοῦ Κυρίου
by the Spirit as in (the)-gospels from the Lord
καὶ Σωτῆρος ἡμῶν μεμαθήκαμεν. ἅπαντα δὲ ταῦτα
and Savior our we-have-learned all but these(-things)
παριδόντας καὶ τῆς ἐν πᾶσι κοινωνίας ἐπιλαθομένους ἀπὸ
having-overlooked and of-the in all fellowship having-forgotten from
Πατρὸς καὶ Υἱοῦ διασπᾷν, οὐκ οἶδα εἴ τις μέτοχος
Father and Son to-tear-apart not I-know whether anyone partaker
Πνεύματος ἁγίου συνθήσεται. ποῦ τοίνυν φέροντες αὐτὸ
of-Spirit holy will-agree where therefore carrying it
τάξομεν; μετὰ τῆς κτίσεως; ἀλλ᾽ ἡ κτίσις πᾶσα δουλεύει,
shall-we-rank with the creation but the creation all serves

τὸ δὲ Πνεῦμα ἐλευθεροῖ, ‘οὗ γὰρ τὸ Πνεῦμα Κυρίου, ἐκεῖ
the but Spirit frees where for the Spirit of-(the)-Lord there
ἐλευθερία.’ καὶ πολλῶν ἐνόντων εἰπεῖν ὅπως οὐ προσήκει
(is)-freedom and many(-things) being-possible to-say how not it-befits
τῇ κτιστῇ φύσει τὸ Πνεῦμα τὸ ἅγιον συγκαταριθμεῖν,
to-the created nature the Spirit the holy to-number-with
τὸ νῦν εἶναι τὸν περὶ τούτων ὑπερθήσομαι λόγον. εἰ
for-the now to-be the about these(-things) I-will-defer argument if
γὰρ μέλλοιμεν πρὸς ἀξίαν τοῦ προβλήματος τάς τε
for we-should-intend toward worth of-the problem the both
παρ’ ἑαυτῶν κατασκευὰς ἐπάγειν καὶ τὰ παρὰ τῶν
from ourselves constructions to-bring-on and the(-things) from the
ἐναντίων προβαλλόμενα διαλύειν, πολλῶν ἡμῖν δεήσει
opponents put-forward to-dissolve many us will-be-needed
λόγων, καὶ ἀποκναίσομεν τῇ πολυφωνίᾳ τῆς βίβλου
words and we-shall-weary with-the verbosity of-the book
τοὺς ἐντυγχάνοντας. διόπερ ἰδίᾳ πραγματείᾳ ἐκεῖνο
the readers wherefore for-(a)-separate treatise that
ταμιευσάμενοι τῶν προκειμένων ἐχώμεθα.
having-reserved to-the(-things) at-hand let-us-hold
Σκεψώμεθα οὖν τὰ καθέκαστον. φύσει ἐστὶν ἀγαθόν,
let-us-consider then the(-things) in-detail by-nature it-is good
ὡς ἀγαθὸς ὁ Πατὴρ καὶ ἀγαθὸς ὁ Υἱός, ἡ κτίσις δὲ ἐν
as good the Father and good the Son the creation but in
τῇ ἐκλογῇ τοῦ ἀγαθοῦ μέτοχός ἐστι τῆς ἀγαθότητος. οἶδε
the choice of-the good partaker is of-the goodness it-knows
τὰ βάθη τοῦ Θεοῦ, ἡ κτίσις δὲ λαμβάνει τὴν φανέρωσιν
the depths — of-God the creation but receives the manifestation
τῶν ἀπορρήτων διὰ τοῦ Πνεύματος. ζωοποιεῖ μετὰ τοῦ
of-the secret(-things) through the Spirit it-makes-alive with —
Θεοῦ τοῦ τὰ πάντα ζωογονοῦντος, μετὰ τοῦ Υἱοῦ τοῦ
God the(-one) the all(-things) generating-life with the Son the(-one)

διδόντος ζωήν. ‘ὁ γὰρ ἐγείρας Χριστὸν ἐκ νεκρῶν
giving life the(-one) for having-raised Christ from (the)-dead
ζωοποιήσει,’ φησί, ‘καὶ τὰ θνητὰ ὑμῶν σώματα διὰ τοῦ
will-make-alive he-says also the mortal your bodies through the
ἐνοικοῦντος αὐτοῦ Πνεύματος ἐν ὑμῖν,’ καὶ πάλιν· ‘τὰ
indwelling his Spirit in you and again the
πρόβατα τὰ ἐμὰ τῆς φωνῆς μου ἀκούει, κἀγὼ ζωὴν αἰώνιον
sheep the mine the voice my hear and-I life eternal
δίδωμι αὐτοῖς.’ ‘ἀλλὰ καὶ τὸ Πνεῦμα,’ φησί, ‘ζωοποιεῖ,’ καὶ
give them but also the Spirit he-says makes-alive and
πάλιν· ‘τὸ δὲ Πνεῦμα,’ φησί, ‘ζωὴ διὰ δικαιοσύνην.’ καὶ
again the but Spirit he-says (is)-life because-of righteousness and
ὁ Κύριος μαρτυρεῖ ‘τὸ Πνεῦμα εἶναι τὸ ζωοποιοῦν, ἡ
the Lord testifies the Spirit to-be the(-one) making-alive the
σὰρξ οὐκ ὠφελεῖ οὐδέν.’ πῶς οὖν τῆς ζωοποιοῦ δυνάμεως
flesh not profits anything how then from-the life-giving power
ἀποξενώσαντες τὸ Πνεῦμα τῇ ἐπιδεομένῃ τῆς ζωῆς φύσει
having-estranged the Spirit to-the needing of-the life nature
προσοικειώσομεν; τίς οὕτω δύσερις, τίς οὕτω δωρεᾶς
shall-we-make-akin who so contentious who so of-(the)-gift
ἐπουρανίου ἀμέτοχος καὶ τῶν καλῶν τοῦ Θεοῦ ῥημάτων
heavenly without-share and of-the good — of-God words
ἄγευστος, τίς οὕτως ἐλπίδων αἰωνίων ἄμοιρος, ὡς τῇ
untasting who so of-hopes eternal without-portion as with-the
κτίσει συντάξαι τὸ Πνεῦμα τῆς Θεότητος ἀποστήσας;
creation to-rank the Spirit from-the Godhead having-removed(-it)
‘Ἐν ἡμῖν,’ φησί, ‘τὸ Πνεῦμα ὡς δῶρόν ἐστι παρὰ τοῦ
in us he-says the Spirit as (a)-gift is from —
Θεοῦ. οὐ δήπου δὲ τὸ δῶρον ταῖς ἴσαις τιμαῖς τῷ
God not surely but the gift with-the equal honors to-the(-one)
δεδωκότι σεμνύνεται.’ δῶρον μὲν οὖν Θεοῦ τὸ Πνεῦμα,
having-given is-revered (a)-gift indeed then of-God the Spirit

ἀλλὰ δῶρον ζωῆς, ‘ὁ γὰρ νόμος,’ φησί, ‘τοῦ Πνεύματος τῆς
but (a)-gift of-life the for law he-says of-the Spirit of-the
ζωῆς ἠλευθέρωσεν ἡμᾶς,’ καὶ δῶρον δυνάμεως, ‘λήψεσθε
life freed us and (a)-gift of-power you-will-receive
γὰρ δύναμιν ἐπελθόντος τοῦ ἁγίου Πνεύματος ἐφ’ ὑμᾶς.’
for power having-come the holy Spirit upon you
ἆρ’ οὖν διὰ τοῦτο εὐκαταφρόνητον; ἢ οὐχὶ καὶ τὸν Υἱὸν
is-it then because-of this contemptible or not also the Son
ἐχαρίσατο τοῖς ἀνθρώποις; ‘ὅς γε,’ φησί, ‘τοῦ ἰδίου Υἱοῦ
he-granted to-the men who at-least he-says the own Son
οὐκ ἐφείσατο, ἀλλ’ ὑπὲρ ἡμῶν πάντων παρέδωκεν αὐτόν,
not spared but for us all delivered him
πῶς οὐχὶ καὶ σὺν αὐτῷ τὰ πάντα ἡμῖν χαρίσεται;’ καὶ
how not also with him the all(-things) to-us will-he-grant and
ἑτέρωθι· ‘ἵνα εἰδῶμεν τὰ ὑπὸ τοῦ Θεοῦ χαρισθέντα
elsewhere that we-may-know the(-things) by — God granted
ἡμῖν, περὶ τοῦ μυστηρίου τῆς Ἐνανθρωπήσεως λέγων. ὥστε
to-us about the mystery of-the Incarnation saying so-that
πῶς οἱ ταῦτα λέγοντες οὐχὶ τὴν Ἰουδαϊκὴν ἀγνωμοσύνην
how those these(-things) saying not the Jewish ingratitude
παρελήλυθασι, τὴν ὑπερβολὴν τῆς χρηστότητος ἐφόδιον
have-surpassed the excess of-the kindness (a)-provision
εἰς βλασφημίαν λαμβάνοντες; ἐγκαλοῦσι γὰρ τῷ Πνεύματι,
for blasphemy taking they-accuse for the Spirit
ὅτι παρρησίαν ἡμῖν δίδωσι καλεῖν Πατέρα ἑαυτῶν τὸν
because boldness to-us it-gives to-call Father our-own —
Θεόν. ‘ἐξαπέστειλε γὰρ ὁ Θεὸς τὸ Πνεῦμα τοῦ Υἱοῦ
God sent-forth for — God the Spirit of-the Son
αὐτοῦ εἰς τὰς καρδίας ἡμῶν, κρᾶζον Ἀββᾶ ὁ Πατήρ,’
of-him into the hearts our crying Abba the Father
ἵνα ἡ ἐκείνου φωνὴ τῶν δεξαμένων ἰδία γένηται.
that the of-that(-spirit) voice of-those having-received own may-become

Scripture says in the Spirit, not with, they object. Basil answers that in often stands for with, that with joins names as and does while refuting Sabellius and those who divide the Persons in time, and that the fathers used both. In expresses many relations, form in matter, art in the artist, the place where we worship, while with declares his eternal union with Father and Son.

25 ‘Πῶς οὖν,’ φησίν, ‘ἡ Γραφὴ οὐδαμοῦ συνδοξαζόμενον Πατρὶ
how then he-says the Scripture nowhere glorified-together with-Father
καὶ Υἱῷ τὸ Πνεῦμα παρέδωκεν, ἀλλὰ πεφυλαγμένως ἐξέκλινε
and Son the Spirit delivered but guardedly avoided
τὸ “σὺν τῷ Πνεύματι” εἰπεῖν, πανταχοῦ δὲ τὸ “ἐν αὐτῷ”
the with the Spirit to-say everywhere but the in it
δοξάζειν ὡς ἁρμοδιώτερον προετίμησεν;’ ἐγὼ δὲ οὐδ’ ἂν
to-glorify as more-fitting preferred I but not-even —
αὐτὸς φαίην ἀτιμοτέρας εἶναι διανοίας παραστατικὴν τὴν
myself would-say less-honorable to-be of-thought representative the
‘ἐν’ συλλαβήν, ἀλλ’ ὑγιῶς ἐκλαμβανομένην πρὸς τὸ μέγιστον
in syllable but soundly taken toward the greatest
ὕψος ἀνάγειν τὰς διανοίας· ὅπου γε καὶ ἀντὶ τῆς ‘σὺν’
height to-lead-up the thoughts where at-least also instead-of the with
πολλαχοῦ κειμένην αὐτὴν τετηρήκαμεν, ὡς τὸ ‘εἰσελεύσομαι
in-many-places lying it we-have-observed as the I-will-go-in
εἰς τὸν οἶκόν σου ἐν ὁλοκαυτώμασιν,’ ἀντὶ τοῦ ‘μετὰ
into the house of-you in burnt-offerings instead-of the with
ὁλοκαυτωμάτων,’ καὶ ‘ἐξήγαγεν αὐτοὺς ἐν ἀργυρίῳ καὶ
burnt-offerings and he-brought-out them in silver and
χρυσίῳ,’ τουτέστι ‘μετὰ ἀργυρίου καὶ χρυσίου,’ καὶ τὸ
gold that-is with silver and gold and the
‘οὐκ ἐξελεύσῃ ἐν ταῖς δυνάμεσιν ἡμῶν,’ ἀντὶ τοῦ ‘σὺν
not you-will-go-out in the powers our instead-of the with

ταῖς δυνάμεσιν ἡμῶν,' καὶ μυρία τοιαῦτα. ὅλως δὲ ἡδέως
the powers our and countless such(-things) in-short but gladly
ἂν μάθοιμι παρὰ τῆς νέας σοφίας, ποίαν δοξολογίαν ὁ
— I-would-learn from the new wisdom what-sort doxology the
Ἀπόστολος διὰ τοῦ 'ἐν' ῥήματος ἀπεπλήρωσε κατὰ τὸν
Apostle through the in word completed according-to the
τύπον, ὃν οὗτοι νῦν ὡς ἐκ τῆς Γραφῆς ἀναφέρουσιν.
pattern which these(-men) now as from the Scripture bring-up
οὐδαμοῦ γὰρ εὗρον λεγόμενον τὸ 'σοὶ τῷ Πατρὶ ἡ τιμὴ
nowhere for I-have-found said the to-you the Father the honor
καὶ ἡ δόξα διὰ τοῦ Μονογενοῦς σου Υἱοῦ ἐν τῷ ἁγίῳ
and the glory through the Only-begotten your Son in the holy
Πνεύματι,' ὅπερ τούτοις ἐστὶ νῦν καὶ αὐτῆς ὡς εἰπεῖν τῆς
Spirit which to-these is now even than-itself so to-speak the
ἀναπνοῆς συνηθέστερον. διεσπασμένως μὲν γὰρ τούτων
breathing more-habitual separately indeed for of-these
ἕκαστόν ἐστιν εὑρεῖν, συνημμένως δὲ ἐν τῇ συντάξει ταύτῃ
each is to-find conjoined but in the arrangement this
οὐδαμοῦ δεικνύειν ἔξουσιν. ὥστε εἰ μὲν ἀκριβολογοῦνται
nowhere to-show they-will-have so-that if indeed they-are-precise
περὶ τὰ ἔγγραφα, δειξάτωσαν πόθεν λέγουσιν, εἰ δὲ
about the written(-things) let-them-show whence they-speak if but
συγχωροῦσι τῇ συνηθείᾳ, μηδὲ ἡμᾶς ἐξειργέτωσαν.
they-yield to-the custom not-even us let-them-shut-out
Ἡμεῖς γὰρ ἀμφοτέρας ἐν τῇ τῶν πιστῶν χρήσει
we for both in the of-the faithful usage
καταλαμβάνοντες τὰς ῥήσεις, ἀμφοτέραις κεχρήμεθα, τὴν
finding the expressions both have-used the
μὲν δόξαν τῷ Πνεύματι ὁμοίως ἀφ' ἑκατέρας πληροῦσθαι
indeed glory to-the Spirit alike from either to-be-fulfilled
πεπιστευκότες, τοὺς δὲ κακουργοῦντας τὴν ἀλήθειαν
having-believed those but corrupting the truth

ἐπιστομίζεσθαι μᾶλλον διὰ τῆς προκειμένης λέξεως, ἥτις
to-be-muzzled rather through the proposed expression which
τὴν δύναμιν τῶν Γραφῶν παραπλησίαν ἔχουσα οὐκέτι
the force of-the Scriptures similar having no-longer
ἐστὶν ὁμοίως τοῖς ἐναντίοις εὐεπιχείρητος (ἔστι δὲ αὕτη
is alike to-the opponents easy-to-attack is but this
ἡ ἀντιλεγομένη νῦν παρὰ τούτων), ἀντὶ τοῦ 'καὶ'
the disputed now by these(-men) instead-of the and
συνδέσμου παρειλημμένη. ἴσον γάρ ἐστιν εἰπεῖν· 'Παῦλος
conjunction adopted equal for it-is to-say Paul
καὶ Σιλουανὸς καὶ Τιμόθεος,' καὶ 'Παῦλος σὺν Τιμοθέῳ καὶ
and Silvanus and Timothy and Paul with Timothy and
Σιλουανῷ,' ἡ γὰρ συμπλοκὴ τῶν ὀνομάτων δι' ἑκατέρας
Silvanus the for joining of-the names through either
ὁμοίως τῆς ἐκφωνήσεως σώζεται. εἰ τοίνυν τοῦ Κυρίου
alike of-the utterance is-preserved if therefore the Lord
εἰπόντος 'Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα' αὐτὸς εἴποιμι
having-said Father and Son and holy Spirit I-myself should-say
'Πατέρα καὶ Υἱὸν σὺν τῷ ἁγίῳ Πνεύματι,' ἄλλο
Father and Son with the holy Spirit (an)-other(-thing)
τι εἰρηκὼς κατὰ τὴν δύναμιν ἔσομαι; τῆς δὲ διὰ
anything having-said according-to the force will-I-be of-the but through
τοῦ 'καὶ' συνδέσμου συμπλοκῆς τῶν ὀνομάτων πολλὰ τὰ
the and conjunction joining of-the names many the
μαρτύρια. 'ἡ χάρις' γάρ, φησί, 'τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
testimonies the grace for he-says of-the Lord our Jesus
Χριστοῦ καὶ ἡ ἀγάπη τοῦ Θεοῦ καὶ ἡ κοινωνία τοῦ ἁγίου
Christ and the love — of-God and the fellowship of-the holy
Πνεύματος.' καὶ πάλιν· 'παρακαλῶ δὲ ὑμᾶς διὰ τοῦ
Spirit and again I-exhort and you through the
Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ διὰ τῆς ἀγάπης τοῦ
Lord our Jesus Christ and through the love of-the

Πνεύματος.᾽ εἰ τοίνυν ἀντὶ τῆς ‘καὶ’ τῇ ‘σὺν’ ἐθελήσαιμεν
Spirit if therefore instead-of the and the with we-should-wish
χρήσασθαι, τί διάφορον πεποιηκότες ἐσόμεθα; ἐγὼ μὲν
to-use what different having-done shall-we-be I indeed
οὐχ ὁρῶ, πλὴν εἰ μὴ ψυχραῖς γραμματικαῖς τις τὸν μὲν
not see except if not by-frigid grammatical(-rules) someone the indeed
σύνδεσμον ὡς συμπλεκτικὸν καὶ πλείονα ποιοῦντα τὴν
conjunction as copulative and more making the
ἕνωσιν προτιμώη, τὴν δὲ πρόθεσιν ὡς οὐκ ἔχουσαν τὴν
union should-prefer the and preposition as not having the
ἴσην δύναμιν ἀποπέμποιτο. ἀλλ᾽ εἴ γε περὶ τούτων τὰς
equal force should-dismiss but if at-least about these(-things) the
εὐθύνας ὑπείχομεν, ἴσως οὐκ ἂν πολλοῦ λόγου πρὸς τὴν
accounts we-were-rendering perhaps not — of-much argument for the
ἀπολογίαν ἐπεδεήθημεν. νῦν δὲ οὐ περὶ συλλαβῶν οὐδὲ
defense we-would-have-needed now but not about syllables nor
περὶ τοιοῦδε ἢ τοιοῦδε φωνῆς ἤχου ὁ λόγος αὐτοῖς, ἀλλὰ
about such or such of-voice sound the argument to-them but
περὶ πραγμάτων ἐν δυνάμει καὶ ἀληθείᾳ μεγίστην ἐχόντων
about things in power and truth greatest having
διαφοράν. ὧν ἕνεκεν ἀπαρατηρήτου τῆς χρήσεως
difference of-which for-the-sake-of unobserved the use
τῶν συλλαβῶν οὔσης οὗτοι τὰς μὲν ἐγγράφειν, τὰς
of-the syllables being these the(-ones) indeed to-enroll the(-others)
δὲ ἀποδιώκειν τῆς Ἐκκλησίας ἐπιχειροῦσιν. ἐγὼ δέ,
and to-banish from-the Church they-attempt I but
εἰ καὶ ἐκ τῆς πρώτης ἀκοῆς ἐναργὲς ἔχει τὸ χρήσιμον,
if even from the first hearing clear has the useful
ἀλλ᾽ οὖν καὶ τὸν λόγον παρέξομαι, καθ᾽ ὃν οὐκ
but nevertheless also the reason I-will-provide according-to which not
ἀργῶς οἱ πατέρες ἡμῶν συμπαρέλαβον τὴν χρῆσιν τῆς
idly the fathers our adopted the use of-the

προθέσεως ταύτης. πρὸς γὰρ τῷ τὸ τοῦ Σαβελλίου κακὸν
preposition this besides for the the — of-Sabellius evil
ἰσοσθενῶς τῇ ‘καὶ’ συλλαβῇ διελέγχειν καὶ παραπλησίως
with-equal-force to-the and syllable to-refute and similarly
ἐκείνῃ τὸ τῶν Ὑποστάσεων ἴδιον παριστᾶν, ὡς
to-that the of-the Hypostases proper(-character) to-present as
τὸ ‘ἐγὼ καὶ ὁ Πατὴρ ἐλευσόμεθα,’ καὶ τὸ ‘ἐγὼ καὶ ὁ
the I and the Father will-come and the I and the
Πατὴρ Ἕν ἐσμεν,’ ἐξαίρετον ἔχει τῆς ἀϊδίου κοινωνίας καὶ
Father One are special it-has of-the eternal fellowship and
ἀπαύστου συναφείας τὸ μαρτύριον. ὁ γὰρ εἰπὼν ‘σὺν
unceasing conjunction the testimony the(-one) for having-said with
τῷ Πατρὶ τὸν Υἱὸν εἶναι ὁμοῦ τήν τε τῶν Ὑποστάσεων
the Father the Son to-be at-once the both of-the Hypostases
ἰδιότητα καὶ τὸ ἀχώριστον τῆς κοινωνίας ἔδειξεν. ὅπερ
distinctness and the inseparability of-the fellowship showed which
καὶ ἐπὶ τῶν ἀνθρωπίνων ἐστὶν ἰδεῖν· ὁ μὲν ‘καὶ’
also in-the-case-of the human(-things) is to-see the indeed and
σύνδεσμος τὸ κοινὸν τῆς ἐνεργείας παρίστησιν, ἡ δὲ
conjunction the common of-the operation presents the but
‘σὺν’ πρόθεσις τὴν κοινωνίαν πως συνενδείκνυται. οἷον
with preposition the fellowship somehow co-indicates as
ἔπλευσαν εἰς Μακεδονίαν Παῦλος καὶ Τιμόθεος, ἀλλὰ καὶ
sailed to Macedonia Paul and Timothy but also
Τυχικὸς καὶ Ὀνήσιμος ἀπεστάλησαν Κολοσσαεῦσιν. ἐκ
Tychicus and Onesimus were-sent to-Colossians from
τούτων ὅτι μὲν ταὐτὸν ἐνήργησαν μεμαθήκαμεν· ἐὰν δὲ
these that indeed the-same they-did we-have-learned if but
ἀκούσωμεν ὅτι συνέπλευσαν καὶ συναπεστάλησαν, ὅτι καὶ
we-hear that they-sailed-together and were-sent-together that also
μετ’ ἀλλήλων τὴν πρᾶξιν ἐπλήρωσαν προσεδιδάχθημεν.
with one-another the deed they-accomplished we-have-been-taught-besides

οὕτω τὸ τοῦ Σαβελλίου κακὸν ὡς οὐδεμία τῶν ἄλλων
thus the — of-Sabellius evil as none of-the other
φωνῶν καταλύουσα προστίθησιν ἐκείνοις καὶ τοὺς κατὰ
words destroying it-adds to-those also those by
διάμετρον ἀσεβοῦντας. λέγω δὴ τούτους, οἳ χρονικοῖς
diameter being-impious I-mean indeed these(-men) who by-temporal
διαστήμασι τοῦ μὲν Πατρὸς τὸν Υἱόν, τοῦ δὲ Υἱοῦ
intervals from-the indeed Father the Son from-the and Son
τὸ Πνεῦμα τὸ ἅγιον διαιροῦσι.
the Spirit the holy divide
Πρὸς δὲ τὴν ‘ἐν’ συλλαβὴν ἐκεῖνο μάλιστα τὸ διάφορον
toward and the in syllable that especially the difference
ἔχει, ὅτι ἡ μὲν ‘σὺν’ τὴν πρὸς ἀλλήλους συνάφειαν
it-has that the indeed with the toward one-another conjunction
τῶν κοινωνούντων παρίστησιν, οἷον τῶν συμπλεόντων
of-the sharing presents as of-the sailing-together
ἢ συνοικούντων ἢ ὁτιοῦν τῶν πάντων κοινῶς
or living-together or anything-whatever of-the all in-common
ἐκτελούντων, ἡ δὲ ‘ἐν’ τὴν σχέσιν τὴν πρὸς τὸ ἐν
performing the but in the relation the toward that in
ᾧ τυγχάνουσιν ἐνεργοῦντες δηλοῖ. ‘ἐμπλέουσι’ γὰρ καὶ
which they-happen operating shows sailing-in for and
‘ἐνοικοῦσιν’ ἀκούσαντες τὸ σκάφος καὶ τὴν οἰκίαν εὐθὺς
dwelling-in having-heard the boat and the house at-once
ἐνοήσαμεν. κατὰ μὲν οὖν τὴν κοινὴν χρῆσιν ἡ πρὸς
we-conceived according-to indeed then the common usage the toward
ἀλλήλας αὐτῶν διαφορὰ τοιαύτη, καὶ ἐπὶ πλεῖον ἂν
one-another their difference (is)-such and to more —
εὑρεθείη παρὰ τῶν φιλοπόνων· οὐ γὰρ ἐμοὶ σχολὴ
would-be-found by the diligent not for to-me (there-is)-leisure
τὰ περὶ τῶν συλλαβῶν ἐξετάζειν. ἐπεὶ οὖν δέδεικται
the(-things) about the syllables to-examine since then it-has-been-shown

ἡ ‘σὺν’ εὐσημότατα ἀποδιδοῦσα τῆς συναφείας τὴν ἔννοιαν,
the with most-clearly rendering of-the conjunction the notion
γενέσθω ὑμῖν ἔνσπονδος, εἰ δοκεῖ, καὶ παύσασθε τοῦ
let-it-become to-you (an)-ally if it-seems and cease from-the
χαλεποῦ πρὸς αὐτὴν καὶ ἀκηρύκτου πολέμου. ὅμως μέντοι
harsh against it and unproclaimed war nevertheless however
οὕτως εὐφήμου τῆς φωνῆς ὑπαρχούσης, εἴ τῳ φίλον
so auspicious the word being if to-anyone (it-be)-dear
ἐν δοξολογίαις τῇ ‘καὶ’ συλλαβῇ συνδεῖν τὰ ὀνόματα
in doxologies by-the and syllable to-join the names
καὶ δοξάζειν, ὡς ἐν εὐαγγελίοις ἐπὶ τοῦ βαπτίσματος
and to-glorify as in (the)-gospels at the baptism
μεμαθήκαμεν, ‘Πατέρα καὶ Υἱὸν καὶ ἅγιον Πνεῦμα,’ καὶ οὕτω
we-have-learned Father and Son and holy Spirit also thus
γινέσθω, οὐδεὶς ἀντερεῖ. ἐπὶ τούτοις εἰ δοκεῖ καταθώμεθα.
let-it-be no-one will-gainsay on these(-terms) if it-seems let-us-agree
ἀλλὰ τὰς γλώσσας ἂν πρόοιντο μᾶλλον ἢ τὴν φωνὴν
but the tongues — they-would-give-up rather than the word
ταύτην δέξαιντο. τοῦτο μὲν οὖν ἐστιν, ὃ τὸν ἀκήρυκτον
this accept this indeed then is what the unproclaimed
ἡμῖν καὶ ἄσπονδον πόλεμον ἐπεγείρει. ‘ἐν τῷ Πνεύματι,’
against-us and implacable war stirs-up in the Spirit
φησί, ‘τῷ ἁγίῳ τὴν δοξολογίαν ἀποδοτέον τῷ Θεῷ, οὐχὶ
he-says the holy the doxology must-be-rendered — to-God not
δὲ καὶ τῷ Πνεύματι,’ καὶ ἐκθυμότατα τῆς φωνῆς ταύτης
and also to-the Spirit and most-vehemently the word this
ὡς ταπεινωτικῆς τοῦ Πνεύματος περιέχονται. περὶ ἧς οὐκ
as lowering of-the Spirit they-cling-to about which not
ἄχρηστον καὶ διὰ μακροτέρων εἰπεῖν. ὧν ἀκούσαντες
useless also through longer(-words) to-speak which having-heard

οὗτοι, θαυμάσαιμεν ἄν, εἰ μὴ ὡς προδότιν αὐτὴν καὶ πρὸς
these(-men) we-should-wonder — if not as betrayer it and to
τὴν τοῦ Πνεύματος δόξαν αὐτομολοῦσαν ἀποκηρύξωσιν.
the of-the Spirit glory deserting they-proscribe
Ἐμοὶ τοίνυν σκοπουμένῳ δοκεῖ, ἁπλῆς καὶ συντόμου 26
to-me therefore considering it-seems simple and concise
τῆς ἐκφωνήσεως οὔσης πολλὰ καὶ ποικίλα εἶναι τὰ
the utterance being many and various to-be the(-things)
δι᾽ αὐτῆς σημαινόμενα. ὁσαχῶς γὰρ λέγεται τὸ ‘ἐν,’
through it signified as-many-ways for is-said the in
τοσαυταχῶς εὑρίσκομεν ταῖς περὶ τοῦ Πνεύματος ἐννοίαις
so-many-ways we-find for-the about the Spirit conceptions
ὑπηρετούμενον. λέγεται μὲν οὖν τὸ εἶδος ἐν τῇ ὕλῃ
serving it-is-said indeed then the form in the matter
εἶναι, καὶ ἡ δύναμις ἐν τῷ δεκτικῷ, καὶ ἡ ἕξις ἐν τῷ
to-be and the power in the receptive and the habit in the
κατ᾽ αὐτὴν διακειμένῳ, καὶ πολλὰ τοιαῦτα. οὐκοῦν
according-to it disposed and many such(-things) therefore
καθὸ μὲν τελειωτικὸν τὸ ἅγιον Πνεῦμα τῶν λογικῶν,
inasmuch-as indeed perfecting the holy Spirit of-the rational(-beings)
ἀπαρτίζον αὐτῶν τὴν ἀκρότητα, τὸν τοῦ εἴδους λόγον
completing their the perfection the of-the form account
ἐπέχει. ὁ γὰρ μηκέτι κατὰ σάρκα ζῶν, ἀλλὰ
it-holds the(-one) for no-longer according-to flesh living but
Πνεύματι Θεοῦ ἀγόμενος καὶ υἱὸς Θεοῦ χρηματίζων καὶ
by-(the)-Spirit of-God led and son of-God being-called and
σύμμορφος τῆς εἰκόνος τοῦ Υἱοῦ τοῦ Θεοῦ γενόμενος,
conformed of-the image of-the Son — of-God having-become
πνευματικὸς ὀνομάζεται. καὶ ὡς ἡ δύναμις τοῦ ὁρᾶν ἐν τῷ
spiritual is-named and as the power of-the to-see in the
ὑγιαίνοντι ὀφθαλμῷ, οὕτως ἡ ἐνέργεια τοῦ Πνεύματος ἐν
healthy eye thus the operation of-the Spirit in

τῇ κεκαθαρμένῃ ψυχῇ. διὸ καὶ Παῦλος εὔχεται Ἐφεσίοις
the purified soul wherefore also Paul prays for-Ephesians
‘πεφωτισμένους ὀφθαλμοὺς αὐτῶν εἶναι ἐν τῷ Πνεύματι
enlightened eyes their to-be in the Spirit
τῆς σοφίας.’ καὶ ὡς ἡ τέχνη ἐν τῷ ἀναλαβόντι αὐτήν,
of-the wisdom and as the art in the(-one) having-taken-up it
οὕτως ἡ χάρις τοῦ Πνεύματος ἐν τῷ ὑποδεξαμένῳ,
thus the grace of-the Spirit in the(-one) having-received
ἀεὶ μὲν συμπαροῦσα, οὐχὶ δὲ καὶ ἐνεργοῦσα διηνεκῶς.
always indeed being-present not but also working continually
ἐπεὶ καὶ ἡ τέχνη δυνάμει μὲν ἐν τῷ τεχνίτῃ ἐστίν,
since also the art in-potentiality indeed in the artisan is
ἐνεργείᾳ δὲ τότε, ὅταν κατ’ αὐτὴν ἐνεργῇ· οὕτω καὶ
in-actuality but then when according-to it he-works thus also
τὸ Πνεῦμα ἀεὶ μὲν συμπάρεστι τοῖς ἀξίοις, ἐνεργεῖ δὲ
the Spirit always indeed is-present to-the worthy it-works but
κατὰ τὴν χρείαν ἢ ἐν προφητείαις ἢ ἐν ἰάμασιν ἢ ἐν
according-to the need either in prophecies or in healings or in
ἄλλοις τισὶ δυνάμεων ἐνεργήμασιν. ἔτι ὡς ἐν σώμασιν
other some of-powers workings further as in bodies
ὑγίεια ἢ θερμότης ἢ ὅλως αἱ εὐκίνητοι διαθέσεις, οὕτω
health or heat or in-general the easily-moved dispositions thus
καὶ ἐν ψυχῇ πολλάκις ὑπάρχει τὸ Πνεῦμα, τοῖς διὰ
also in (the)-soul often is the Spirit for-those because-of
τὸ τῆς γνώμης ἀνίδρυτον εὐκόλως ἣν ἐδέξαντο χάριν
the of-the will instability easily which they-received grace
ἀπωθουμένοις μὴ παραμένον· οἷος ἦν ὁ Σαοὺλ καὶ οἱ
thrusting-away not remaining such-as was — Saul and the
ἑβδομήκοντα πρεσβύτεροι τῶν υἱῶν Ἰσραὴλ πλὴν τοῦ
seventy elders of-the sons of-Israel except —
Ἐλδὰδ καὶ Μωδάδ (τούτοις γὰρ μόνοις ἐκ πάντων
Eldad and Modad to-these for alone of all

φαίνεται παραμεῖναν τὸ Πνεῦμα), καὶ ὅλως εἴ τις τούτοις
it-appears to-have-remained the Spirit and in-short if anyone to-these
τὴν προαίρεσιν παραπλήσιος. καὶ ὡς ὁ λόγος δὲ ἐν ψυχῇ
in-the choice (is)-like and as the word and in (the)-soul
ποτε μὲν ὡς τὸ ἐγκάρδιον νόημα, ποτὲ δὲ ὡς ὁ
at-times indeed as the in-the-heart thought at-times but as the(-one)
προφερόμενος διὰ γλώσσης, οὕτω τὸ Πνεῦμα τὸ ἅγιον,
uttered through (the)-tongue thus the Spirit the holy
νῦν μὲν ὅταν ‘συμμαρτυρῇ τῷ πνεύματι’ καὶ ὅταν ‘κράζῃ
now indeed when it-bears-witness-with the spirit and when it-cries
ἐν ταῖς καρδίαις ἡμῶν Ἀββᾶ ὁ Πατήρ,’ νῦν δὲ ὅταν λαλῇ
in the hearts our Abba the Father now but when it-speaks
ὑπὲρ ἡμῶν, κατὰ τὸ εἰρημένον, ὅτι ‘οὐχ ὑμεῖς ἐστε οἱ
for us according-to the said that not you are those
λαλοῦντες, ἀλλὰ τὸ Πνεῦμα τοῦ Πατρὸς τὸ λαλοῦν ἐν
speaking but the Spirit of-the Father the(-one) speaking in
ὑμῖν.’ ἤδη δὲ καὶ ὡς ὅλον ἐν μέρεσι νοεῖται τὸ Πνεῦμα
you already and also as whole in parts is-understood the Spirit
κατὰ τὴν τῶν χαρισμάτων διανομήν. πάντες γὰρ ‘ἐσμὲν
according-to the of-the gifts distribution all for we-are
ἀλλήλων μέλη, ἔχοντες δὲ χαρίσματα κατὰ τὴν χάριν
of-one-another members having but gifts according-to the grace
τοῦ Θεοῦ τὴν δοθεῖσαν ἡμῖν διάφορα.’ διὰ τοῦτο
— of-God the(-grace) given to-us differing because-of this
‘οὐ δύναται εἰπεῖν ὁ ὀφθαλμὸς τῇ χειρί· χρείαν σου οὐκ
not can say the eye to-the hand need of-you not
ἔχω, ἢ πάλιν ἡ κεφαλὴ τοῖς ποσί· χρείαν ὑμῶν οὐκ ἔχω,’
I-have or again the head to-the feet need of-you not I-have
ἀλλὰ πάντα μὲν ὁμοῦ συμπληροῖ τὸ σῶμα τοῦ Χριστοῦ
but all(-things) indeed together complete the body — of-Christ
ἐν τῇ ἑνότητι τοῦ Πνεύματος, ἀλλήλοις δὲ ἀναγκαίαν τὴν
in the unity of-the Spirit to-one-another and necessary the

ἐκ τῶν χαρισμάτων ἀντιδίδωσιν ὠφέλειαν. ‘ὁ μὲν γὰρ
from the gifts gives-in-return benefit the indeed for
Θεὸς ἔθετο τὰ μέλη ἐν τῷ σώματι, ἓν ἕκαστον αὐτῶν
God set the members in the body one each of-them
καθὼς ἠθέλησε.’ ‘τὰ μέντοι μέλη τὸ αὐτὸ μεριμνῶσιν
as he-willed the however members the same may-care
ὑπὲρ ἀλλήλων’ κατὰ τὴν πνευματικὴν κοινωνίαν τῆς
for one-another according-to the spiritual fellowship of-the
συμπαθείας αὐτοῖς ὑπαρχούσης, διόπερ ‘εἴτε πάσχει ἓν
sympathy to-them belonging wherefore whether suffers one
μέλος, συμπάσχει πάντα τὰ μέλη, εἴτε δοξάζεται ἓν
member suffer-with all the members or is-glorified one
μέλος, συγχαίρει πάντα τὰ μέλη.’ καὶ ὡς μέρη δὲ ἐν
member rejoice-with all the members and as parts and in
ὅλῳ οἱ καθ’ ἕνα ἐσμὲν ἐν τῷ Πνεύματι, ὅτι οἱ
(a)-whole the(-ones) by one we-are in the Spirit because the(-ones)
πάντες ἐν ἑνὶ σώματι εἰς ἓν Πνεῦμα ἐβαπτίσθημεν.
all in one body into one Spirit were-baptized
Ὃ δὲ παράδοξον μὲν εἰπεῖν, ἀληθὲς δὲ οὐδενὸς
what but paradoxical indeed to-say true but than-nothing
ἔλαττον, ὅτι καὶ ὡς χώρα τῶν ἁγιαζομένων πολλάκις
less that also as place of-those being-sanctified often
τὸ Πνεῦμα λέγεται, καὶ φανήσεται οὐδὲ οὗτος ὁ τρόπος
the Spirit is-called and it-will-appear not-even this the manner
κατασμικρύνων τὸ Πνεῦμα, ἀλλὰ μᾶλλον δοξάζων. τὰ γάρ
belittling the Spirit but rather glorifying the for
τοι σωματικὰ τῶν ὀνομάτων καὶ ἐπὶ τὰς πνευματικὰς
surely bodily of-the names also to the spiritual
ἐννοίας ἐναργείας ἕνεκεν πολλάκις ὁ λόγος μετακομίζει.
conceptions of-clearness for-the-sake often the word transfers
τετηρήκαμεν οὖν καὶ ἐπὶ τοῦ Θεοῦ τὸν ψαλμῳδὸν λέγοντα·
we-have-observed then also about — God the psalmist saying

‘γενοῦ μοι εἰς Θεὸν ὑπερασπιστὴν καὶ εἰς τόπον ὀχυρὸν τοῦ
become for-me for God (a)-protector and for (a)-place strong of-the
σῶσαί με,’ περὶ δὲ τοῦ Πνεύματος, ‘ἰδοὺ τόπος,’ φησί, ‘παρ’
to-save me about but the Spirit behold (a)-place he-says with
ἐμοί, καὶ στῆθι ἐπὶ τῆς πέτρας,’ τί ἄλλο λέγων τὸν τόπον
me and stand on the rock what other saying the place
ἢ τὴν ἐν Πνεύματι θεωρίαν, ἐν ᾗ γενόμενος ἐδύνατο ἰδεῖν
than the in Spirit contemplation in which having-come was-able to-see
γνωστῶς ἐμφανιζόμενον αὐτῷ τὸν Θεὸν ὁ Μωϋσῆς; οὗτός
knowingly appearing to-him — God — Moses this
ἐστιν ὁ τόπος ὁ τῆς ἀληθινῆς λατρείας ἴδιος. ‘πρόσεχε’
is the place the of-the true worship proper beware
γάρ, φησί, ‘μὴ ἀνενέγκῃς τὰ ὁλοκαυτώματά σου ἐν παντὶ
for he-says not you-offer the burnt-offerings of-you in every
τόπῳ ἀλλ’ ἐν τῷ τόπῳ, ᾧ ἂν ἐκλέξηται Κύριος ὁ Θεός
place but in the place which — may-choose (the)-Lord — God
σου.’ ποῖον οὖν ἐστιν ὁλοκαύτωμα πνευματικόν; ἡ θυσία
your what-sort then is (a)-burnt-offering spiritual the sacrifice
τῆς αἰνέσεως. ἐν ποίῳ δὲ τόπῳ ταύτην προσφέρομεν;
of-the praise in what-sort and place this do-we-offer
ἐν τῷ Πνεύματι τῷ ἁγίῳ. ποῦ τοῦτο μεμαθήκαμεν; παρ’
in the Spirit the holy where this have-we-learned from
αὐτοῦ τοῦ Κυρίου λέγοντος, ὅτι ‘οἱ ἀληθινοὶ προσκυνηταὶ
himself the Lord saying that the true worshipers
ἐν Πνεύματι καὶ Ἀληθείᾳ προσκυνήσουσι τῷ Πατρί.’
in Spirit and Truth will-worship the Father
τοῦτον τὸν τόπον ἰδὼν ὁ Ἰακὼβ ἔφη, ὅτι ‘Κύριος
this the place having-seen — Jacob said that (the)-Lord
ἐν τῷ τόπῳ τούτῳ.’ ὥστε τὸ Πνεῦμα τόπος ἀληθῶς
in the place this so-that the Spirit (is)-place truly
τῶν ἁγίων, καὶ ὁ ἅγιος τόπος οἰκεῖος τῷ Πνεύματι,
of-the saints and the saint (is)-(a)-place proper to-the Spirit

ἐμπαρέχων ἑαυτὸν πρὸς ἐνοίκησιν τὴν μετὰ Θεοῦ καὶ
offering himself for indwelling the with God and
ναὸς αὐτοῦ χρηματίζων. ὡς γὰρ ἐν Χριστῷ λαλεῖ Παῦλος·
temple of-him being-called as for in Christ speaks Paul
‘κατενώπιον γάρ, φησί, Θεοῦ ἐν Χριστῷ λαλοῦμεν,’ καὶ
before for he-says God in Christ we-speak and
Χριστὸς ἐν Παύλῳ, ὡς αὐτὸς λέγει· ‘ἢ δοκιμὴν ζητεῖτε
Christ in Paul as himself says or (a)-proof you-seek
τοῦ ἐν ἐμοὶ λαλοῦντος Χριστοῦ;’ οὕτω καὶ ἐν Πνεύματι
of-the in me speaking Christ thus also in Spirit
λαλεῖ μυστήρια, καὶ τὸ Πνεῦμα πάλιν λαλεῖ ἐν αὐτῷ.
he-speaks mysteries and the Spirit again speaks in him
Ἐν μὲν οὖν τοῖς γεννητοῖς οὕτω πολυμερῶς καὶ
in indeed then the begotten(-ones) thus variously and
πολυτρόπως ἐνεῖναι λέγεται τὸ Πνεῦμα, Πατρὶ δὲ καὶ
manifoldly to-be-in is-said the Spirit with-Father but and
Υἱῷ οὐχὶ ἐνεῖναι μᾶλλον, ἀλλὰ συνεῖναι εἰπεῖν εὐσεβέστερον.
Son not to-be-in rather but to-be-with to-say (is)-more-pious
ἡ μὲν γὰρ παρ’ αὐτοῦ χάρις οἰκοῦντος ἐν τοῖς ἀξίοις καὶ
the indeed for from it grace dwelling in the worthy and
ἐνεργοῦντος τὰ ἑαυτοῦ καλῶς ἐνυπάρχειν τοῖς δεκτικοῖς
working the its-own well to-exist-in to-the receptive
αὐτοῦ λέγεται, ἡ δὲ προαιώνιος ὕπαρξις καὶ ἄπαυστος
of-it is-said the but before-the-ages existence and unceasing
διαμονὴ μεθ’ Υἱοῦ καὶ Πατρὸς θεωρουμένη τὰς τῆς ἀϊδίου
continuance with Son and Father contemplated the of-the eternal
συναφείας προσηγορίας ἐπιζητεῖ. τὸ γὰρ κυρίως καὶ ἀληθῶς
conjunction titles requires the for properly and truly
συνυπάρχειν ἐπὶ τῶν ἀχωρίστως ἀλλήλοις συνόντων
to-co-exist in-the-case-of the inseparably with-one-another being-together
λέγεται. τὴν γὰρ θερμότητα τῷ μὲν πυρακτωθέντι σιδήρῳ
is-said the for heat to-the indeed heated iron

ἐννυπάρχειν φαμέν, αὐτῷ δὲ τῷ πυρὶ συννυπάρχειν, καὶ
to-exist-in we-say itself but to-the fire to-co-exist and
τὴν μὲν ὑγίειαν τῷ σώματι ἐννυπάρχειν, τὴν δὲ ζωὴν τῇ
the indeed health to-the body to-exist-in the but life to-the
ψυχῇ συννυπάρχειν. ὥστε ὅπου μὲν οἰκεία καὶ συμφυὴς καὶ
soul to-co-exist so-that where indeed own and connatural and
ἀχώριστος ἡ κοινωνία, σημαντικωτέρα φωνὴ ἡ ‘σύν,’
inseparable the fellowship more-significant (is-the)-word the with
τῆς ἀχωρίστου κοινωνίας τὴν διάνοιαν ὑποβάλλουσα, ὅπου
of-the inseparable fellowship the notion suggesting where
δὲ προσγίνεσθαι ἡ ἀπ᾽ αὐτοῦ χάρις καὶ πάλιν ἀπογίνεσθαι
but to-be-added the from it grace and again to-be-removed
πέφυκεν, οἰκείως καὶ ἀληθῶς τὸ ἐννυπάρχειν λέγεται, κἂν
is-natural properly and truly the to-be-in is-said even-if
τοῖς δεξαμένοις πολλάκις διὰ τὸ ἑδραῖον τῆς περὶ τὸ
to-those having-received often because-of the steadfastness of-the toward the
καλὸν διαθέσεως ἡ ἀπ᾽ αὐτοῦ χάρις διαρκὴς παραμένῃ. ὥστε
good disposition the from it grace lasting remain so-that
ὅταν μὲν τὴν οἰκείαν ἀξίαν τοῦ Πνεύματος ἐννοῶμεν, ‘μετὰ’
when indeed the proper worth of-the Spirit we-consider with
Πατρὸς αὐτὸ καὶ Υἱοῦ θεωροῦμεν, ὅταν δὲ τὴν εἰς τοὺς
Father it and Son we-contemplate when but the toward the
μετόχους ἐνεργουμένην χάριν ἐνθυμηθῶμεν, ‘ἐν’ ἡμῖν εἶναι τὸ
partakers worked grace we-ponder in us to-be the
Πνεῦμα λέγομεν. καὶ ἥ γε προσαγομένη δοξολογία παρ᾽
Spirit we-say and the at-least offered doxology by
ἡμῶν ‘ἐν τῷ Πνεύματι’ οὐχὶ τῆς ἐκείνου ἀξίας ὁμολογίαν
us in the Spirit not of-the its worth confession
ἔχει, ἀλλὰ τῆς ἡμετέρας αὐτῶν ἀσθενείας ἐξομολόγησιν,
has but of-the our own weakness confession
δεικνύντων ὅτι οὔτε δοξάσαι ἀφ᾽ ἑαυτῶν ἱκανοί ἐσμεν, ἀλλ᾽
showing that neither to-glorify from ourselves sufficient we-are but

ἡ ἱκανότης ἡμῶν ‘ἐν τῷ Πνεύματι τῷ ἁγίῳ,’ ἐν ᾧ
the sufficiency our (is)-in the Spirit the holy in which
δυναμωθέντες τὴν ὑπὲρ ὧν εὐεργετήθημεν τῷ Θεῷ
empowered the for which-things we-were-benefited — to-God
ἡμῶν εὐχαριστίαν ἀποπληροῦμεν, κατὰ τὸ μέτρον τῆς
our thanksgiving we-fulfill according-to the measure of-the
ἀπὸ κακίας καθαρότητος ἕτερος ἑτέρου πλέον ἢ ἔλαττον
from evil purity one than-another more or less
τῆς ἐκ τοῦ Πνεύματος βοηθείας μεταλαμβάνοντες, εἰς
of-the from the Spirit help partaking for
τὸ προσφέρειν τὰς θυσίας τῆς αἰνέσεως τῷ Θεῷ. καθ’
the to-offer the sacrifices of-the praise — to-God in
ἕνα μὲν οὖν τρόπον οὕτως εὐσεβῶς ‘ἐν Πνεύματι’ τὴν
one indeed then way thus piously in Spirit the
εὐχαριστίαν ἀποπληροῦμεν. καίτοι καὶ τοῦτο οὐκ ἀβαρὲς
thanksgiving we-fulfill and-yet also this not inoffensive
αὐτόν τινα ἑαυτῷ μαρτυρεῖν, ὅτι Πνεῦμα Θεοῦ ἐν ἐμοί,
himself someone for-himself to-testify that (the)-Spirit of-God (is)-in me
καὶ διὰ τῆς ἀπ’ αὐτοῦ χάριτος σοφισθεὶς ἀναφέρω τὴν
and through the from it grace made-wise I-render-up the
δόξαν. Παύλῳ γὰρ πρέπουσα ἡ φωνή· ‘δοκῶ γὰρ κἀγὼ
glory to-Paul for befitting the word I-think for I-too
Πνεῦμα Θεοῦ ἔχειν,’ καὶ πάλιν· ‘τὴν καλὴν παρακαταθήκην
(the)-Spirit of-God to-have and again the good deposit
φύλαξον διὰ Πνεύματος ἁγίου τοῦ ἐνοικοῦντος ἐν ἡμῖν·’
guard through Spirit holy the dwelling in us
καὶ περὶ τοῦ Δανιήλ, ὅτι ‘Πνεῦμα Θεοῦ ἅγιον ἐν αὐτῷ,’
and about — Daniel that (the)-Spirit of-God holy (is)-in him
καὶ εἴ τις ἐκείνοις τὴν ἀρετὴν παραπλήσιος.
and if anyone to-those in-the virtue (is)-like

Δεύτερος δὲ νοῦς οὐδὲ αὐτὸς ἀπόβλητος, ὅτι ὥσπερ ἐν
(a)-second and sense not-even itself (is)-to-be-rejected that as in
τῷ Υἱῷ ὁρᾶται ὁ Πατήρ, οὕτως ὁ Υἱὸς ἐν τῷ Πνεύματι.
the Son is-seen the Father thus the Son in the Spirit
ἡ τοίνυν ἐν τῷ Πνεύματι προσκύνησις τὴν ὡς ἐν φωτὶ
the therefore in the Spirit worship the as in light
γινομένην τῆς διανοίας ἡμῶν ἐνέργειαν ὑποβάλλει, ὡς ἐκ
occurring of-the mind our operation suggests as from
τῶν πρὸς τὴν Σαμαρεῖτιν εἰρημένων ἂν μάθοις.
the(-things) to the Samaritan-woman said — you-might-learn
ἐν τόπῳ γὰρ εἶναι τὴν προσκύνησιν ἐκ τῆς ἐγχωρίου
in place for to-be the worship from the local
συνηθείας ἠπατημένην ὁ Κύριος ἡμῶν μεταδιδάσκων ἐν
custom deceived the Lord our re-teaching in
Πνεύματι καὶ Ἀληθείᾳ χρῆναι προσκυνεῖν ἔφησεν, ἑαυτὸν
Spirit and Truth must (one)-worship he-said himself
λέγων δηλαδὴ τὴν Ἀλήθειαν. ὥσπερ οὖν ἐν τῷ Υἱῷ
calling evidently the Truth as then in the Son
προσκύνησιν λέγομεν τὴν ὡς ἐν Εἰκόνι τοῦ Θεοῦ καὶ
worship we-say the(-worship) as in Image — of-God and
Πατρός, οὕτω καὶ ἐν τῷ Πνεύματι ὡς ἐν ἑαυτῷ δεικνύντι
Father thus also in the Spirit as in itself showing
τὴν τοῦ Κυρίου Θεότητα. διὸ καὶ ἐν τῇ προσκυνήσει
the of-the Lord Godhead wherefore also in the worship
ἀχώριστον ἀπὸ Πατρὸς καὶ Υἱοῦ τὸ Πνεῦμα τὸ ἅγιον. ἔξω
inseparable from Father and Son the Spirit the holy outside
μὲν γὰρ ὑπάρχων αὐτοῦ οὐδὲ προσκυνήσεις τὸ παράπαν,
indeed for being of-it not-even you-will-worship the at-all
ἐν αὐτῷ δὲ γενόμενος οὐδενὶ τρόπῳ ἀποχωρίσεις ἀπὸ
in it but having-come in-no way you-will-separate(-it) from
Θεοῦ, οὐ μᾶλλόν γε ἢ τῶν ὁρατῶν ἀποστήσεις τὸ
God not more at-least than from-the visible(-things) you-will-remove the

φῶς. ἀδύνατον γὰρ ἰδεῖν τὴν Εἰκόνα τοῦ Θεοῦ τοῦ ἀοράτου
light impossible for to-see the Image — of-God the invisible
μὴ ἐν τῷ φωτισμῷ τοῦ Πνεύματος, καὶ τὸν ἐνατενίζοντα
not in the illumination of-the Spirit and the(-one) gazing
τῇ Εἰκόνι ἀμήχανον τῆς Εἰκόνος ἀποχωρίσαι τὸ Φῶς.
on-the Image impossible from-the Image to-separate the Light
τὸ γὰρ τοῦ ὁρᾶν αἴτιον ἐξ ἀνάγκης συγκαθορᾶται τοῖς
the for of-the to-see cause of necessity is-seen-together with-the
ὁρατοῖς. ὥστε οἰκείως καὶ ἀκολούθως διὰ μὲν τοῦ
visible(-things) so-that properly and consistently through indeed the
φωτισμοῦ τοῦ Πνεύματος τὸ Ἀπαύγασμα τῆς δόξης τοῦ
illumination of-the Spirit the Radiance of-the glory —
Θεοῦ καθορῶμεν, διὰ δὲ τοῦ Χαρακτῆρος ἐπὶ τὸν οὗ
of-God we-behold through and the Impress to the(-one) whose
ἐστιν ὁ Χαρακτὴρ καὶ ἡ ἰσότυπος Σφραγὶς ἀναγόμεθα.
is the Impress and the equal-in-type Seal we-are-led-up

XII · THE UNWRITTEN TRADITION

The church holds unwritten traditions with the force of the written: the sign of the cross, praying eastward, the words of invocation, blessing the water and the oil, triple immersion, standing on the Lord's day and at Pentecost. The doxology with belongs among them. If the saints are with Christ, how is the Spirit not with him? Basil grieves that the undisputed is now disputed.

27 'Τίνος οὖν ἕνεκεν,' φασίν, 'ἰδίως προσηκούσης τῷ
for-what then sake they-say properly belonging to-the
Πνεύματι τῆς "ἐν" συλλαβῆς καὶ εἰς πᾶσαν ἡμῖν τὴν
Spirit the in syllable and for all to-us the
περὶ αὐτοῦ ἔννοιαν ἐξαρκούσης, τὴν καινὴν ταύτην ὑμεῖς
about it conception sufficing the new this you

συλλαβὴν ἐπεισηγάγετε, "σὺν τῷ Πνεύματι" λέγοντες καὶ
syllable have-introduced with the Spirit saying and
οὐκ "ἐν τῷ Πνεύματι τῷ ἁγίῳ," οὔτε ἄλλως ἀναγκαῖα
not in the Spirit the holy neither otherwise necessary
οὔτε νενομισμένα ταῖς Ἐκκλησίαις φθεγγόμενοι;' ὡς μὲν
nor customary for-the Churches uttering(-things) that indeed
οὖν οὐχὶ ἀποκληρωτικῶς τῷ ἁγίῳ Πνεύματι ἡ 'ἐν'
then not exclusively to-the holy Spirit the in
συλλαβὴ διενήνοχεν, ἀλλὰ κοινὴ Πατρός ἐστι καὶ Υἱοῦ, ἐν
syllable has-been-allotted but common of-Father is and of-Son in
τοῖς κατόπιν εἴρηται· οἶμαι δὲ κἀκεῖνο ἀρκούντως
the(-chapters) before it-has-been-said I-think and that-too sufficiently
εἰρῆσθαι, ὅτι οὐ μόνον οὐκ ἀφαιρεῖταί τι τῆς ἀξίας
to-have-been-said that not only not it-takes-away anything of-the worth
τοῦ Πνεύματος, ἀλλὰ καὶ πρὸς τὸ μέγιστον ὕψος τῶν μὴ
of-the Spirit but even to the greatest height of-those not
πάντη ἐνδιαστρόφων τοὺς λογισμοὺς ἐπανάγει. λειπόμενον
wholly perverted the thoughts it-leads-up remaining
δέ ἐστι περὶ τῆς 'σὺν' ὁπόθεν ἤρξατο καὶ τίνα δύναμιν
but it-is about the with whence it-began and what force
ἔχει καὶ ὅπως σύμφωνός ἐστι τῇ Γραφῇ διηγήσασθαι.
it-has and how consonant it-is with-the Scripture to-relate
Τῶν ἐν τῇ Ἐκκλησίᾳ πεφυλαγμένων δογμάτων καὶ
of-the in the Church preserved doctrines and
κηρυγμάτων τὰ μὲν ἐκ τῆς ἐγγράφου διδασκαλίας
proclamations the(-ones) indeed from the written teaching
ἔχομεν, τὰ δὲ ἐκ τῆς τῶν ἀποστόλων παραδόσεως
we-have the(-others) and from the of-the apostles tradition
διαδοθέντα ἡμῖν ἐν μυστηρίῳ παρεδεξάμεθα· ἅπερ ἀμφότερα
handed-down to-us in mystery we-received which both
τὴν αὐτὴν ἰσχὺν ἔχει πρὸς τὴν εὐσέβειαν. καὶ τούτοις
the same force have toward the piety and to-these

οὐδεὶς ἀντερεῖ, οὐκοῦν ὅστις γε κατὰ μικρὸν γοῦν
no-one will-gainsay not-then whoever at-least by little at-any-rate
θεσμῶν τῆς Ἐκκλησίας πεπείραται. εἰ γὰρ ἐπιχειρήσαιμεν
of-ordinances of-the Church has-had-experience if for we-should-attempt
τὰ ἄγραφα τῶν ἐθῶν ὡς μὴ μεγάλην ἔχοντα τὴν δύναμιν
the unwritten of-the customs as not great having the force
παραιτεῖσθαι, λάθοιμεν ἂν εἰς αὐτὰ τὰ καίρια
to-reject we-would-escape-notice — to very the vital(-points)
ζημιοῦντες τὸ εὐαγγέλιον, μᾶλλον δὲ εἰς ὄνομα ψιλὸν
injuring the gospel rather and into (a)-name bare
περιστῶντες τὸ κήρυγμα. οἷον (ἵνα τοῦ πρώτου καὶ
reducing the proclamation as that the first and
κοινοτάτου μνησθῶ) τῷ τύπῳ τοῦ σταυροῦ τοὺς εἰς
most-common I-may-mention by-the sign of-the cross those in
τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἠλπικότας
the name of-the Lord our Jesus Christ having-hoped
κατασημαίνεσθαι τίς ὁ διὰ γράμματος διδάξας; τὸ
to-be-signed who the(-one) through writing having-taught the
πρὸς ἀνατολὰς τετράφθαι κατὰ τὴν προσευχὴν ποῖον
toward (the)-east to-be-turned in the prayer what-sort
ἡμᾶς ἐδίδαξε γράμμα; τὰ τῆς ἐπικλήσεως ῥήματα ἐπὶ τῇ
us taught writing the of-the invocation words at the
ἀναδείξει τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τοῦ ποτηρίου
showing-forth of-the bread of-the eucharist and of-the cup
τῆς εὐλογίας τίς τῶν ἁγίων ἐγγράφως ἡμῖν καταλέλοιπεν;
of-the blessing who of-the saints in-writing to-us has-left
οὐ γὰρ δὴ τούτοις ἀρκούμεθα, ὧν ὁ Ἀποστόλος
not for indeed with-these we-are-content of-which the Apostle
ἢ τὸ εὐαγγέλιον ἐπεμνήσθη, ἀλλὰ καὶ προλέγομεν καὶ
or the gospel made-mention but both we-say-before and
ἐπιλέγομεν ἕτερα ὡς μεγάλην ἔχοντα πρὸς τὸ μυστήριον
we-say-after other(-things) as great having for the mystery

τὴν ἰσχύν, ἐκ τῆς ἀγράφου διδασκαλίας παραλαβόντες.
the force from the unwritten teaching having-received
εὐλογοῦμεν δὲ τό τε ὕδωρ τοῦ βαπτίσματος καὶ τὸ ἔλαιον
we-bless and the both water of-the baptism and the oil
τῆς χρίσεως καὶ προσέτι αὐτὸν τὸν βαπτιζόμενον. ἀπὸ
of-the anointing and besides himself the(-one) being-baptized from
ποίων ἐγγράφων; οὐκ ἀπὸ τῆς σιωπωμένης καὶ μυστικῆς
what-sort written(-texts) not from the silent and mystical
παραδόσεως; τί δέ; αὐτὴν τοῦ ἐλαίου τὴν χρῖσιν τίς
tradition what and itself of-the oil the anointing what
λόγος γεγραμμένος ἐδίδαξε; τὸ δὲ τρὶς βαπτίζεσθαι τὸν
word written taught the and thrice to-be-baptized the
ἄνθρωπον πόθεν; ἄλλα δὲ ὅσα περὶ τὸ βάπτισμα,
man whence other and as-many-as about the baptism
ἀποτάσσεσθαι τῷ σατανᾷ καὶ τοῖς ἀγγέλοις αὐτοῦ, ἐκ
to-renounce — to-Satan and the angels of-him from
ποίας ἐστὶ γραφῆς; οὐκ ἐκ τῆς ἀδημοσιεύτου ταύτης καὶ
what-sort is-it scripture not from the unpublished this and
ἀπορρήτου διδασκαλίας, ἣν ἐν ἀπολυπραγμονήτῳ καὶ
secret teaching which in uncurious and
ἀπεριεργάστῳ σιγῇ οἱ πατέρες ἡμῶν ἐφύλαξαν, καλῶς
uninquisitive silence the fathers our guarded well
ἐκεῖνο δεδιδαγμένοι τῶν μυστηρίων τὸ σεμνὸν σιωπῇ
that having-been-taught of-the mysteries the sacredness by-silence
διασώζεσθαι; ἃ γὰρ οὐδὲ ἐποπτεύειν ἔξεστι τοῖς
to-be-preserved what for not-even to-behold is-permitted to-the
ἀμυήτοις, τούτων πῶς ἂν ἦν εἰκὸς τὴν διδασκαλίαν
uninitiated of-these how — would-it-be fitting the teaching
ἐκθριαμβεύειν ἐν γράμμασιν; ἢ τίποτε βουλόμενος ὁ
to-parade in writings or what wishing the
μέγας Μωϋσῆς οὐ πᾶσι βάσιμα εἶναι τὰ τοῦ ἱεροῦ
great Moses not to-all accessible to-be the(-parts) of-the temple

πάντα πεποίηκεν, ἀλλ᾽ ἔξω μὲν ἁγίων περιβόλων ἔστησε
all has-made but outside indeed holy precincts he-set
τοὺς βεβήλους, τὰς δὲ πρώτας αὐλὰς τοῖς καθαρωτέροις
the profane the and first courts to-the purer
ἀνεὶς τοὺς Λευίτας μόνους ἀξίους ἔκρινε τοῦ Θείου
having-allowed the Levites alone worthy he-judged of-the Divine
θεραπευτάς, σφάγια δὲ καὶ ὁλοκαυτώσεις καὶ τὴν λοιπὴν
servants slaughterings but and burnt-offerings and the rest
ἱερουργίαν τοῖς ἱερεῦσιν ἀποκληρώσας ἕνα τῶν πάντων
sacred-service to-the priests having-allotted one of-the all
ἔκκριτον εἰς τὰ ἄδυτα παραδέχεται, καὶ οὐδὲ τοῦτον
chosen into the sanctuary he-admits and not-even this(-one)
διὰ παντός, ἀλλὰ κατὰ μίαν μόνην τοῦ ἐνιαυτοῦ ἡμέραν,
at all(-times) but on one only of-the year day
καὶ ταύτης ὥραν τακτὴν εἰσιτητὸν αὐτῷ καταστήσας,
and of-this (an)-hour appointed entrance for-him having-established
ὥστε διὰ τὸ ἀπεξενωμένον καὶ ἄηθες θαμβούμενον
so-that because-of the strangeness and unusualness awestruck
ἐποπτεύειν τὰ ἅγια τῶν ἁγίων, εὖ εἰδὼς ὑπὸ σοφίας
to-behold the holy(-things) of-the holies well knowing by wisdom
τῷ μὲν πεπατημένῳ καὶ αὐτόθεν ληπτῷ πρόχειρον οὖσαν
to-the indeed trodden and at-hand graspable ready being
τὴν καταφρόνησιν, τῷ δὲ ἀνακεχωρηκότι καὶ σπανίῳ
the contempt to-the but withdrawn and rare
φυσικῶς πως παρεζευγμένον τὸ περισπούδαστον; κατὰ
naturally somehow joined the eagerly-sought in
τὸν αὐτὸν δὴ τρόπον καὶ οἱ τὰ περὶ τῆς Ἐκκλησίας
the same indeed manner also the the(-things) about the Church
ἐξαρχῆς διαθεσμοθετήσαντες Ἀπόστολοι καὶ πατέρες ἐν
from-the-beginning having-legislated Apostles and fathers in
τῷ κεκρυμμένῳ καὶ ἀφθέγκτῳ τὸ σεμνὸν τοῖς μυστηρίοις
the hidden and unspoken the sacredness to-the mysteries

ἐφύλασσον. οὐδὲ γὰρ ὅλως μυστήριον τὸ εἰς τὴν
preserved not for at-all (a)-mystery the(-thing) into the
δημώδη καὶ εἰκαίαν ἀκοὴν ἔκφορον. οὗτος ὁ λόγος τῆς
common and random hearing divulged this the reason of-the
τῶν ἀγράφων παραδόσεως, ὡς μὴ καταμεληθεῖσαν
of-the unwritten(-things) tradition that not neglected
τῶν δογμάτων τὴν γνῶσιν εὐκαταφρόνητον τοῖς πολλοῖς
of-the doctrines the knowledge contemptible to-the many
γενέσθαι διὰ συνήθειαν. ἄλλο γὰρ δόγμα, καὶ ἄλλο
should-become because-of familiarity other for (is-)doctrine and other
κήρυγμα, τὸ μὲν γὰρ σιωπᾶται, τὰ δὲ κηρύγματα
proclamation the(-one) indeed for is-kept-silent the but proclamations
δημοσιεύεται. σιωπῆς δὲ εἶδος καὶ ἡ ἀσάφεια, ᾗ
are-published of-silence and (a)-form also the obscurity which
κέχρηται ἡ Γραφὴ δυσθεώρητον κατασκευάζουσα τῶν
uses the Scripture hard-to-perceive making of-the
δογμάτων τὸν νοῦν πρὸς τὸ τῶν ἐντυγχανόντων λυσιτελές.
doctrines the sense for the of-the readers advantage
τούτου χάριν πάντες μὲν ὁρῶμεν κατ᾽ ἀνατολὰς ἐπὶ τῶν
of-this for-the-sake all indeed look toward (the)-east at the
προσευχῶν, ὀλίγοι δὲ ἴσμεν ὅτι τὴν ἀρχαίαν ἐπιζητοῦμεν
prayers few and know that the ancient we-seek
πατρίδα, τὸν παράδεισον, ὃν ἐφύτευσεν ὁ Θεὸς ἐν Ἐδὲμ
fatherland the paradise which planted — God in Eden
κατ᾽ ἀνατολάς. ὀρθοὶ μὲν πληροῦμεν τὰς εὐχὰς ἐν τῇ μιᾷ
toward (the)-east upright indeed we-fulfill the prayers on the one
τοῦ σαββάτου, τὸν δὲ λόγον οὐ πάντες οἴδαμεν. οὐ γὰρ
of-the week the and reason not all know not for
μόνον ὡς συναναστάντες Χριστῷ καὶ τὰ ἄνω ζητεῖν
only as risen-with Christ and the(-things) above to-seek
ὀφείλοντες ἐν τῇ ἀναστασίμῳ ἡμέρᾳ τῆς δεδομένης ἡμῖν
owing on the resurrection day of-the given to-us

χάριτος διὰ τῆς κατὰ τὴν προσευχὴν στάσεως ἑαυτοὺς
grace through the in the prayer standing ourselves
ὑπομιμνήσκομεν, ἀλλ᾽ ὅτι δοκεῖ πως τοῦ προσδοκωμένου
we-remind but because it-seems somehow of-the expected
αἰῶνος εἶναι εἰκών, διὸ καὶ ἀρχὴ οὖσα ἡμερῶν οὐχὶ
age to-be (an)-image wherefore also beginning being of-days not
πρώτη παρὰ Μωϋσέως, ἀλλὰ μία ὠνόμασται. ‘ἐγένετο
first by Moses but one it-has-been-named there-was
γὰρ ἑσπέρα,’ φησί, ‘καὶ ἐγένετο πρωΐ, ἡμέρα μία,’ ὡς
for evening he-says and there-was morning day one as
τῆς αὐτῆς ἀνακυκλουμένης πολλάκις. καὶ μία τοίνυν ἡ
of-the same revolving often and one therefore the
αὐτὴ καὶ ὀγδόη, τὴν μίαν ὄντως ἐκείνην καὶ ἀληθινὴν
same and eighth the one truly that and true
ὀγδόην, ἧς καὶ ὁ ψαλμῳδὸς ἔν τισιν ἐπιγραφαῖς τῶν
eighth of-which also the psalmist in some superscriptions of-the
ψαλμῶν ἐπεμνήσθη, δι᾽ ἑαυτῆς ἐμφανίζουσα, τὴν μετὰ
psalms made-mention through itself manifesting the after
τὸν χρόνον τοῦτον κατάστασιν, τὴν ἄπαυστον ἡμέραν, τὴν
the time this state the unceasing day the
ἀνέσπερον, τὴν ἀδιάδοχον, τὸν ἄληκτον ἐκεῖνον καὶ ἀγήρω
eveningless the without-successor the unending that and ageless
αἰῶνα. ἀναγκαίως οὖν τὰς ἐν αὐτῇ προσευχὰς ἑστῶτας
age necessarily then the in it prayers standing
ἀποπληροῦν τοὺς ἑαυτῆς τροφίμους ἡ Ἐκκλησία παιδεύει,
to-fulfill the her-own nurslings the Church teaches
ἵνα τῇ συνεχεῖ ὑπομνήσει τῆς ἀτελευτήτου ζωῆς τῶν
that by-the continual reminder of-the endless life of-the
πρὸς τὴν μετάστασιν ἐκείνην ἐφοδίων μὴ ἀμελῶμεν. καὶ
toward the removal that provisions not we-may-neglect and
πᾶσα δὲ ἡ Πεντηκοστὴ τῆς ἐν τῷ αἰῶνι προσδοκωμένης
all and the Pentecost of-the in the age expected

ἀναστάσεώς ἐστιν ὑπόμνημα. ἡ γὰρ μία ἐκείνη καὶ
resurrection is (a)-reminder the for one that and
πρώτη ἡμέρα ἑπτάκις ἑπταπλασιασθεῖσα τὰς ἑπτὰ τῆς
first day seven-times multiplied-by-seven the seven of-the
ἱερᾶς Πεντηκοστῆς ἑβδομάδας ἀποτελεῖ, ἐκ πρώτης γὰρ
holy Pentecost weeks completes from first for
ἀρχομένη εἰς τὴν αὐτὴν καταλήγει, δι᾽ ὁμοίων τῶν
beginning into the same it-ends through like the(-days)
ἐν τῷ μέσῳ ἐξελιττομένη πεντηκοντάκις. διὸ καὶ αἰῶνα
in the middle unrolled fifty-times wherefore also (the)-age
μιμεῖται τῇ ὁμοιότητι, ὥσπερ ἐν κυκλικῇ κινήσει ἀπὸ τῶν
it-imitates by-the likeness as in circular motion from the
αὐτῶν ἀρχομένη σημείων καὶ εἰς τὰ αὐτὰ καταλήγουσα. ἐν
same beginning points and into the same ending in
ᾗ τὸ ὄρθιον σχῆμα τῆς προσευχῆς προτιμᾷν οἱ θεσμοὶ
which the upright posture of-the prayer to-prefer the ordinances
τῆς Ἐκκλησίας ἡμᾶς ἐξεπαίδευσαν, ἐκ τῆς ἐναργοῦς
of-the Church us taught from the vivid
ὑπομνήσεως οἱονεὶ μετοικίζοντες ἡμῶν τὸν νοῦν ἀπὸ τῶν
reminder as-it-were transferring our the mind from the
παρόντων ἐπὶ τὰ μέλλοντα. καὶ καθ᾽ ἑκάστην δὲ γονυκλισίαν
present(-things) to the future(-things) and at each and kneeling
καὶ διανάστασιν ἔργῳ δείκνυμεν, ὅτι καὶ διὰ τῆς ἁμαρτίας
and rising-up by-deed we-show that both through the sin
εἰς γῆν κατερρύημεν, καὶ διὰ τῆς φιλανθρωπίας τοῦ
to earth we-fell-down and through the love-for-man of-the(-one)
κτίσαντος ἡμᾶς εἰς οὐρανὸν ἀνεκλήθημεν.
having-created us to heaven we-were-called-back
Ἐπιλείψει με ἡ ἡμέρα τὰ ἄγραφα τῆς Ἐκκλησίας
will-fail me the day the unwritten(-things) of-the Church
μυστήρια διηγούμενον. ἐῶ τἆλλα· αὐτὴν δὲ τὴν
mysteries relating I-let-be the-other(-things) itself but the

ὁμολογίαν τῆς πίστεως εἰς Πατέρα καὶ Υἱὸν καὶ ἅγιον
confession of-the faith in Father and Son and holy
Πνεῦμα ἐκ ποίων γραμμάτων ἔχομεν; εἰ μὲν γὰρ ἐκ τῆς
Spirit from what-sort writings do-we-have if indeed for from the
τοῦ βαπτίσματος παραδόσεως κατὰ τὸ τῆς εὐσεβείας
of-the baptism tradition according-to the of-the piety
ἀκόλουθον ὡς βαπτιζόμεθα οὕτω καὶ πιστεύειν ὀφείλοντες
sequence as we-are-baptized thus also to-believe owing
ὁμοίαν τῷ βαπτίσματι τὴν ὁμολογίαν κατατιθέμεθα,
like to-the baptism the confession we-make
συγχωρησάτωσαν καὶ ἡμῖν ἐκ τῆς αὐτῆς ἀκολουθίας
let-them-allow also to-us from the same sequence
ὁμοίαν τῇ πίστει τὴν δόξαν ἀποδιδόναι· εἰ δὲ τὸν τρόπον
like to-the faith the glory to-render if but the manner
τῆς δοξολογίας ὡς ἄγραφον παραιτοῦνται, δότωσαν ἡμῖν
of-the doxology as unwritten they-reject let-them-give us
τῆς τε κατὰ τὴν πίστιν ὁμολογίας καὶ τῶν λοιπῶν
of-the both according-to the faith confession and of-the rest
ὧν ἀπηριθμησάμεθα ἐγγράφους τὰς ἀποδείξεις. εἶτα
which we-enumerated written the proofs then
τοσούτων ὄντων ἀγράφων καὶ τοσαύτην ἐχόντων τὴν
so-many being unwritten(-things) and so-much having the
ἰσχὺν εἰς τὸ τῆς εὐσεβείας μυστήριον, μίαν λέξιν ἡμῖν
force for the of-the piety mystery one expression to-us
ἐκ πατέρων εἰς ἡμᾶς ἐλθοῦσαν οὐ συγχωρήσουσιν, ἣν
from fathers to us having-come not will-they-allow which
ἡμεῖς ἐκ τῆς ἀνεπιτηδεύτου συνηθείας ταῖς ἀδιαστρόφοις
we from the unaffected custom in-the unperverted
τῶν ἐκκλησιῶν ἐναπομείνασαν εὕρομεν, οὐ μικρὸν τὸν
of-the churches remaining found not small the

λόγον ἔχουσαν οὐδὲ βραχεῖαν συντέλειαν εἰς τὴν τοῦ
reason having nor brief contribution to the of-the
μυστηρίου δύναμιν εἰσφερομένην;
mystery force bringing
Εἴρηται μὲν οὖν τίς ἡ δύναμις ἑκατέρας τῆς
it-has-been-said indeed then what the force of-each of-the
ἐκφωνήσεως, εἰρήσεται δὲ καὶ πάλιν ὅπη τε συμφωνοῦσιν
utterance it-will-be-said and also again where both they-agree
ἀλλήλαις καὶ ὅπη διίστανται, οὐκ ἀπομαχόμεναι πρὸς
with-one-another and where they-differ not fighting toward
ἐναντίωσιν, ἀλλ' ἴδιον ἑκατέρα τὸν νοῦν εἰσφερομένη πρὸς
opposition but its-own each the sense bringing toward
τὴν εὐσέβειαν. ἡ μὲν γὰρ 'ἐν' τὰ πρὸς ἡμᾶς παρίστησι
the piety the indeed for in the(-things) toward us presents
μᾶλλον, ἡ δὲ 'σὺν' τὴν πρὸς Θεὸν κοινωνίαν τοῦ Πνεύματος
rather the but with the toward God fellowship of-the Spirit
ἐξαγγέλλει. διόπερ ἀμφοτέραις κεχρήμεθα ταῖς φωναῖς,
proclaims wherefore both we-have-used the words
τῇ μὲν τὸ ἀξίωμα τοῦ Πνεύματος παριστῶντες,
by-the(-one) indeed the dignity of-the Spirit presenting
τῇ δὲ τὴν χάριν τὴν παρ' ἡμῖν διαγγέλλοντες. οὕτω
by-the(-other) and the grace the among us announcing thus
καὶ 'ἐν τῷ Πνεύματι' τὴν δόξαν προσάγομεν τῷ Θεῷ
both in the Spirit the glory we-offer — to-God
καὶ 'σὺν τῷ Πνεύματι,' οὐδὲν ἡμέτερον λέγοντες, ἀλλ'
and with the Spirit nothing ours saying but
ὥσπερ ἀπὸ κανόνος, τῆς τοῦ Κυρίου διδασκαλίας, ἐπὶ τὰ
as from (a)-rule of-the of-the Lord teaching to the
προσεχῆ καὶ ἀλλήλων ἐχόμενα καὶ ἀναγκαίαν ἐν τοῖς
adjacent and with-one-another connected and necessary in the
μυστηρίοις τὴν συνάφειαν ἔχοντα τὴν φωνὴν μεταφέροντες.
mysteries the conjunction having the word transferring

τὸ γὰρ ἐπὶ τοῦ βαπτίσματος συναριθμηθὲν ἀναγκαίως
the for at the baptism connumerated necessarily
ᾠήθημεν δεῖν καὶ ἐπὶ τῆς πίστεως συναρμόσαι, τὴν
we-thought (one)-must also at the faith to-join the
δὲ ὁμολογίαν τῆς πίστεως οἷον ἀρχήν τινα καὶ μητέρα
and confession of-the faith as beginning some and mother
τῆς δοξολογίας ἐποιησάμεθα. ἀλλὰ τί χρὴ ποιεῖν; νῦν
of-the doxology we-made but what (one)-must do now
γὰρ ἡμᾶς διδασκέτωσαν μὴ βαπτίζειν ὡς παρελάβομεν,
for us let-them-teach not to-baptize as we-received
ἢ μὴ πιστεύειν ὡς ἐβαπτίσθημεν, ἢ μὴ δοξάζειν ὡς
or not to-believe as we-were-baptized or not to-glorify as
πεπιστεύκαμεν. δεικνύτω γάρ τις ἢ ὡς οὐκ ἀναγκαία
we-have-believed let-show for someone either that not necessary
καὶ ἄρρηκτος ἡ πρὸς ἄλληλα τούτων ἀκολουθία, ἢ
and unbroken the toward one-another of-these sequence or
ὡς οὐχὶ ἡ ἐν τούτοις καινοτομία τοῦ παντός ἐστι
that not the in these innovation of-the whole is
κατάλυσις. ἀλλ᾽ οὐ παύονται ἄνω καὶ κάτω θρυλλοῦντες
(the)-destruction but not they-cease up and down harping-on
τὴν ἀμάρτυρον καὶ τὴν ἄγραφον καὶ ὅσα τοιαῦτα τὴν
the unattested and the unwritten and whatever such(-things) the
‘σὺν τῷ Πνεύματι τῷ ἁγίῳ’ δοξολογίαν. εἴρηται μὲν
with the Spirit the holy doxology it-has-been-said indeed
οὖν ὅτι ταὐτόν ἐστι πρὸς διάνοιαν εἰπεῖν ‘δόξα Πατρὶ
then that the-same it-is in sense to-say glory to-Father
καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι,’ καὶ ‘δόξα Πατρὶ καὶ Υἱῷ
and Son and holy Spirit and glory to-Father and Son
σὺν τῷ ἁγίῳ Πνεύματι.’ οὔτε οὖν τὴν ‘καὶ’ συλλαβὴν ἐξ
with the holy Spirit neither then the and syllable from
αὐτῆς τοῦ Κυρίου φωνῆς προελθοῦσαν ἀθετῆσαί τινι ἢ
itself of-the Lord voice having-come to-set-aside for-anyone or

διαγράφειν οἷόν τε, καὶ τὴν ἰσοδυναμοῦσαν αὐτῇ οὐδὲν
to-strike-out (is)-possible — and the equivalent to-it nothing
τὸ κωλύον καταδεχθῆναι· ἣν ὅπως ἔχει πρὸς ἐκείνην
the preventing to-be-accepted which how it-is toward that
διαφορᾶς τε καὶ ὁμοιότητος ἐν τοῖς κατόπιν ἐδείξαμεν.
of-difference both and of-likeness in the(-chapters) before we-showed
βεβαιοῖ δὲ ἡμῖν τὸν λόγον καὶ ὁ Ἀπόστολος ἀδιαφόρως
confirms but for-us the argument also the Apostle indifferently
ἑκατέρᾳ τῇ φωνῇ κεχρημένος, νῦν μὲν λέγων· ‘ἐν τῷ
each the word having-used now indeed saying in the
ὀνόματι τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ καὶ ἐν τῷ Πνεύματι
name of-the Lord Jesus Christ and in the Spirit
τοῦ Θεοῦ ἡμῶν,’ πάλιν δέ· ‘συναχθέντων ὑμῶν καὶ τοῦ
— of-God our again but having-been-gathered you and the
ἐμοῦ πνεύματος σὺν τῇ δυνάμει τοῦ Κυρίου Ἰησοῦ,’ οὐδὲν
my spirit with the power of-the Lord Jesus nothing
διαφέρειν ἡγούμενος τῷ συνδέσμῳ ἢ τῇ προθέσει πρὸς
to-differ thinking the conjunction or the preposition for
τὴν τῶν ὀνομάτων συμπλοκὴν ἀποχρήσασθαι.
the of-the names joining to-use
Ἴδωμεν δὲ καὶ εἴ τινα ἀπολογίαν τοῖς πατράσιν ἡμῶν 28
let-us-see and also if some defense for-the fathers our
τῆς χρήσεως ταύτης ἐπινοήσομεν, οἱ γὰρ τὴν ἀρχὴν
of-the use this we-shall-devise they for the beginning
παρασχόντες τῷ λόγῳ μᾶλλον ἡμῶν ὑπόκεινται τοῖς
having-provided to-the expression more than-us are-subject to-the
ἐγκλήμασι. Παῦλος τοίνυν Κολοσσαεῦσι γράφων· ‘καὶ
charges Paul therefore to-Colossians writing and
ὑμᾶς,’ φησί, ‘νεκροὺς ὄντας τοῖς παραπτώμασι καὶ τῇ
you he-says dead being in-the trespasses and in-the
ἀκροβυστίᾳ συνεζωοποίησε τῷ Χριστῷ.’ ἆρα οὖν λαῷ
uncircumcision he-made-alive-together — with-Christ is-it then to-(the)-people

μὲν ὅλῳ καὶ Ἐκκλησίᾳ ἐχαρίσατο ὁ Θεὸς τὴν σὺν
indeed whole and Church granted — God the with
Χριστῷ ζωήν, τῷ δὲ ἁγίῳ Πνεύματι οὐχὶ σὺν Χριστῷ
Christ life to-the but holy Spirit not with Christ
ἡ ζωή; εἰ δὲ τοῦτο καὶ διανοίᾳ λαβεῖν ἀσεβές, πῶς οὐχ
the life if but this even in-thought to-take (is)-impious how not
ὅσιον ὡς ἔχει φύσεως οὕτω καὶ τὴν ὁμολογίαν συνημμένως
holy as it-is of-nature so also the confession conjointly
ἀποδιδόναι; εἶτα πῶς οὐ τῆς ἐσχάτης ἀναλγησίας τοὺς
to-render then how not of-the utmost insensibility the
μὲν ἁγίους ὁμολογεῖν σὺν Χριστῷ εἶναι (εἴπερ δὴ
indeed saints to-confess with Christ to-be if-indeed indeed
Παῦλος ἐκδημήσας ἀπὸ τοῦ σώματος ἐνδημεῖ πρὸς τὸν
Paul having-left-home from the body is-at-home with the
Κύριον, καὶ ἀναλύσας σὺν Χριστῷ ἐστιν ἤδη), τῷ δὲ
Lord and having-departed with Christ is already to-the but
Πνεύματι τούτους μηδὲ τοῖς ἀνθρώποις ἐξίσου μετὰ
Spirit these(-men) not-even the men equally with
Χριστοῦ εἶναι τόγε εἰς αὐτοὺς ἦκον μεταδιδόναι;
Christ to-be at-least as-far-as on-them it-depends to-grant
καὶ Παῦλος μὲν Θεοῦ συνεργὸν ἑαυτὸν ἐν τῇ οἰκονομίᾳ
and Paul indeed of-God fellow-worker himself in the dispensation
τοῦ εὐαγγελίου καλεῖ, τὸ δὲ Πνεῦμα τὸ ἅγιον, δι' οὗ
of-the gospel calls the but Spirit the holy through whom
ἐν πάσῃ κτίσει τῇ ὑπὸ τὸν οὐρανὸν καρποφορεῖται τὸ
in all creation the under the heaven bears-fruit the
εὐαγγέλιον, ἐὰν συνεργὸν εἴπωμεν, κἂν ἀσεβείας γραφὴν
gospel if fellow-worker we-call even of-impiety (an)-indictment
καθ' ἡμῶν ἀπενέγκαιντο; καὶ ὡς ἔοικεν, ἡ μὲν ζωὴ
against us would-they-bring and as it-seems the indeed life
τῶν ἠλπικότων ἐπὶ Κύριον κέκρυπται σὺν τῷ Χριστῷ
of-those having-hoped on (the)-Lord is-hidden with — Christ

ἐν τῷ Θεῷ, καὶ ὅταν ὁ Χριστὸς φανερωθῇ, ἡ ζωὴ
in — God and when — Christ is-manifested the life
ἡμῶν, τότε καὶ αὐτοὶ σὺν αὐτῷ φανερωθήσονται ἐν
our then also themselves with him will-be-manifested in
δόξῃ, αὐτὸ δὲ τὸ Πνεῦμα τῆς ζωῆς τὸ ἐλευθερῶσαν
glory itself but the Spirit of-the life the(-one) having-freed
ἡμᾶς ἀπὸ τοῦ νόμου τῆς ἁμαρτίας οὐδαμῶς ἐστι σὺν
us from the law of-the sin by-no-means is with
Χριστῷ οὔτε ἐν λανθανούσῃ καὶ κεκρυμμένῃ σὺν αὐτῷ
Christ neither in hidden and concealed with him
ζωῇ οὔτε ἐν τῇ φανερώσει τῆς δόξης, ἣν ἡμεῖς ἐπὶ τοῖς
life nor in the manifestation of-the glory which we in the
ἁγίοις ἐκφανήσεσθαι προσδοκῶμεν; ‘κληρονόμοι Θεοῦ καὶ
saints to-be-revealed expect heirs of-God and
συγκληρονόμοι Χριστοῦ’ ἡμεῖς, τὸ δὲ Πνεῦμα ἀπόκληρον
fellow-heirs of-Christ we the but Spirit disinherited
καὶ ἄμοιρον τῆς κοινωνίας τοῦ Θεοῦ καὶ τοῦ Χριστοῦ
and without-share of-the fellowship — of-God and — of-Christ
αὐτοῦ; καὶ ‘αὐτὸ μὲν τὸ Πνεῦμα συμμαρτυρεῖ τῷ πνεύματι
his and itself indeed the Spirit bears-witness-with the spirit
ἡμῶν ὅτι ἐσμὲν τέκνα Θεοῦ,’ ἡμεῖς δὲ τῷ Πνεύματι
our that we-are children of-God we but to-the Spirit
οὐδὲ ἣν παρὰ τοῦ Κυρίου μεμαθήκαμεν τῆς πρὸς Θεὸν
not-even which from the Lord we-have-learned of-the toward God
κοινωνίας τὴν μαρτυρίαν κατατιθέμεθα; τὸ δὲ κεφάλαιον
fellowship the testimony do-we-render the but sum
τῆς ἀνοίας, ἡμεῖς μὲν διὰ τῆς εἰς Χριστὸν πίστεως τῆς ἐν
of-the folly we indeed through the in Christ faith the in
Πνεύματι συνεγερθήσεσθαι αὐτῷ καὶ συγκαθεδεῖσθαι ἐν τοῖς
Spirit to-be-raised-with him and to-sit-with in the
ἐπουρανίοις ἐλπίζομεν, ὅταν ‘μετασχηματίσῃ τὸ σῶμα τῆς
heavenly(-places) hope when he-transforms the body of-the

ταπεινώσεως ἡμῶν᾽ ἀπὸ τοῦ ψυχικοῦ πρὸς τὸ πνευματικόν,
humiliation our from the psychic to the spiritual
τῷ δὲ Πνεύματι οὐ συνεδρίας, οὐ δόξης, οὐκ ἄλλου τινὸς
to-the but Spirit not session not glory not other anything
ὧν ἔχομεν παρ᾽ αὐτοῦ, μεταδίδομεν, ἀλλ᾽ ὧν ἑαυτοὺς
of-what we-have from it do-we-share but of-what ourselves
ἀξίους εἶναι κατὰ τὴν ἀψευδῆ τοῦ ἐπαγγειλαμένου
worthy to-be according-to the unfalse of-the(-one) having-promised
δωρεὰν πεπιστεύκαμεν, τούτων οὐδενὸς τῷ Πνεύματι τῷ
gift we-have-believed of-these none to-the Spirit the
ἁγίῳ ὡς ὑπερβαίνοντος αὐτοῦ τὴν ἀξίαν παραχωροῦμεν;
holy as exceeding its the worth do-we-yield
καὶ σοὶ μὲν κατὰ τὴν ἀξίαν ἐστι ‘πάντοτε εἶναι σὺν
and to-you indeed according-to the worth it-is always to-be with
τῷ Κυρίῳ,’ καὶ προσδοκᾷς ‘ἁρπαγεὶς ἐν νεφέλαις εἰς
the Lord and you-expect caught-up in clouds for
ἀπάντησιν εἰς ἀέρα πάντοτε συνέσεσθαι τῷ Κυρίῳ,’ τὸ
meeting in (the)-air always to-be-with the Lord the
δὲ Πνεῦμα νῦν ἀντιλέγεις εἶναι σὺν τῷ Χριστῷ, ὅς
but Spirit now you-deny to-be with — Christ you-who
γε τὸν συναριθμοῦντα αὐτὸ καὶ συντάσσοντα Πατρὶ
at-least the(-one) numbering-with it and ranking-with with-Father
καὶ Υἱῷ ἐξόριστον τίθεσαι ὡς ἀφόρητα δυσσεβοῦντα;
and Son (an)-outcast make as intolerably being-impious
Αἰσχύνομαι ἐπαγαγεῖν τὰ λειπόμενα, ὅτι σὺ μὲν
I-am-ashamed to-add the remaining(-things) that you indeed
συνδοξασθήσεσθαι Χριστῷ προσδοκᾷς, ‘εἴπερ γὰρ
to-be-glorified-with with-Christ expect if-indeed for
συμπάσχομεν ἵνα καὶ συνδοξασθῶμεν,’ τὸ δὲ Πνεῦμα τῆς
we-suffer-with that also we-may-be-glorified-with the but Spirit of-the
ἁγιωσύνης οὐ συνδοξάζεις Χριστῷ ὡς οὐδὲ σοὶ τῶν
holiness not you-glorify-with with-Christ as not-even with-you of-the

ἴσων τυγχάνειν ἄξιον. καὶ σὺ μὲν ἐλπίζεις συμβασιλεύειν,
equal(-things) to-obtain worthy and you indeed hope to-reign-with
τὸ δὲ Πνεῦμα τῆς χάριτος ἐνυβρίζεις, τὴν δούλου αὐτῷ
the but Spirit of-the grace you-insult the of-slave to-it
καὶ ὑπηρέτου τάξιν ἀποκληρῶν. καὶ ταῦτα λέγω, οὐχ
and of-servant rank allotting and these(-things) I-say not
ἵνα τοσοῦτον δείξω ὀφειλόμενον εἶναι εἰς δοξολογίαν
that so-much I-may-show owed to-be in doxology
τῷ Πνεύματι, ἀλλ' ἵνα τὴν ἀγνωμοσύνην ἐλέγξω τῶν
to-the Spirit but that the ingratitude I-may-refute of-those
μηδὲ τοσοῦτον διδόντων, ἀλλ' ὡς ἀσέβειαν φευγόντων
not-even so-much giving but as impiety fleeing
τὴν τοῦ Πνεύματος πρὸς Υἱὸν καὶ Πατέρα κοινωνίαν
the of-the Spirit with Son and Father fellowship
τῆς δόξης. τίς δύναται ταῦτα ἀστενακτὶ παρελθεῖν; ἢ
of-the glory who can these(-things) without-groaning pass-by or
γὰρ οὐχὶ προδήλως, ὥστε κἂν παιδὶ γενέσθαι γνώριμον,
for not manifestly so-that even to-(a)-child to-be known
τὴν ἀπειληθεῖσαν τῆς πίστεως ἔκλειψιν προοιμιάζονται τὰ
the threatened of-the faith failure foreshadow the
παρόντα; ἀμφίβολα γέγονε τὰ ἀναντίρρητα. πιστεύομεν
present(-things) doubtful have-become the indisputable(-things) we-believe
εἰς τὸ Πνεῦμα, καὶ ταῖς ἡμετέραις αὐτῶν ὁμολογίαις
in the Spirit and with-the our own confessions
ζυγομαχοῦμεν. βαπτιζόμεθα, καὶ πάλιν μαχόμεθα. ὡς
we-fight we-are-baptized and again we-fight as
Ἀρχηγὸν τῆς ζωῆς ἐπικαλούμεθα, καὶ ὡς ὁμοδούλου
Author of-the life we-invoke and as fellow-servant
καταφρονοῦμεν. μετὰ Πατρὸς καὶ Υἱοῦ παρελάβομεν,
we-despise with Father and Son we-received
καὶ ὡς μέρος τῆς κτίσεως ἀτιμάζομεν. οἱ δὲ 'τί
and as part of-the creation we-dishonor they and what

προσεύξονται μὴ εἰδότες᾽ ἐάν τι καὶ φθέγξασθαι σεμνὸν
they-will-pray not knowing if anything even to-utter august
περὶ τοῦ Πνεύματος προαχθῶσιν, ὡς ἐφικνούμενοι τῆς
about the Spirit they-be-led as reaching the
ἀξίας κολάζουσι τοῦ λόγου τὸ ὑπερπίπτον τὴν συμμετρίαν·
worth they-curtail of-the speech the exceeding the measure
οὓς ἐχρῆν ὀδύρεσθαι τὴν ἀσθένειαν, ὅτι ὧν ἔργῳ
whom it-befitted to-lament the weakness that of-which by-deed
πάσχομεν λόγοις ἀντιπληροῦν τὴν χάριν οὐκ ἐξαρκοῦμεν.
we-experience with-words to-repay the grace not we-suffice
ὑπερέχει γὰρ πάντα νοῦν, καὶ λόγου φύσιν ἐλέγχει οὐδὲ
surpasses for all mind and of-speech (the)-nature it-convicts not-even
πολλοστῷ μέρει τῆς ἀξίας παρισουμένην, κατὰ τὸν
in-the-least part of-the worth equaled according-to the
λόγον τῆς ἐπιγραφομένης Σοφίας· ‘ὑψώσατε γάρ,’ φησί,
word of-the entitled Wisdom exalt for he-says
‘καθόσον ἂν δύνησθε, ὑπερέχει γὰρ καὶ ἔτι, καὶ ὑψοῦντες
as-far-as — you-are-able it-surpasses for also yet and exalting
αὐτὸν πληθύνατε. μὴ κοπιᾶτε, οὐ γὰρ μὴ ἐφίκησθε.’ ἦ
him multiply not be-weary not for — you-will-attain surely
που φοβεραὶ ὑμῖν αἱ ὑπὲρ τῶν τοιούτων λόγων εὔθυναι
I-suppose fearful to-you the for of-the such words accounts
τοῖς παρὰ τοῦ ἀψευδοῦς ἀκηκοόσι Θεοῦ ἀσυγχώρητον
to-those from the unlying having-heard God unforgivable
εἶναι τὴν εἰς τὸ Πνεῦμα τὸ ἅγιον βλασφημίαν.
to-be the against the Spirit the holy blasphemy

